ἀποδείξεσι κέχρηνται. ἐξ αὐτοῦ γίνεσθαι δεικνύου-
σι τὸ πῦρ εἶναι τῶν ἄλλων στοιχείων γεννητικόν.
καὶ τῶν ἄλλων ὁμοίως τὸ ὕδωρ. ὁ δὲ τὸν ἀέρα, ἐκ
τούτου δημιουργεῖσθαι τὰ πάντα τὰ στοιχεῖα ἀλλήλοις
μεταβαλλόμενα, πάντων δὲ εἰς ἄλληλα τρεπομέ-
νων, ἀνάγκη τὸ πάντα στοιχεῖα εἶναι. ὅπερ ἂν
λάβοις τῶν τεσσάρων λεχθήσεται ἢ τοῦ ὑφε-
στῶτος γινόμενον. τὸ δὲ σῶμα τῆς ψυχῆς ὄργανον
ὑπάρχον. τῆς ψυχῆς δημιουργοῦ οὔσης διαι-
ρεῖται. ταύτης γὰρ προσφοροῦντες καὶ ἐπιτήδειον
κατεσκεύασε. πρὸς τὸ μηδεμίαν αὐτῆς δύ-
ναμιν ὑπὸ τοῦ σώματος ἐμποδίζεσθαι. ἐκεῖ-

σης γοῦν ψυχικὴ δύναμις περὶ τὴν ἐνέργειαν.
ἴδια μὲν τοῦ σώματος ἀποτετέλεσται· ὥς
περεὶ τις ὁ λόγος ἀποδείξει· ἡ μὲν γὰρ ψυχὴ, τά-
ξιν ἐπέχει τεχνίτου· τὸ δὲ σῶμα, ὀργάνου· ὕ-
λη δέ ἐστι περὶ ἃ ἡ πρᾶξις αὐτή· οἷον, ὥς
ὕλη μὲν ὑπόκειται ἡ γυνή· περὶ ταύτην γὰρ ἡ πρᾶ-
ξις· ἡ δὲ πρᾶξις μοιχεία· ἡ πορνεία· ἡ γά-
μος. διαιρεῖται δὲ ἡ ψυχὴ καὶ δυνάμεις εἴς τε
τὸ φανταστικόν· καὶ διανοητικόν· καὶ μνημονευτι-
κόν :- ~

περὶ φανταστικοῦ :- ~

Φανταστικὸν μὲν οὖν ἐστι· δύναμις τῆς ἀλόγου
ψυχῆς. διὰ τῶν αἰσθητηρίων ἐνεργοῦσα· φαν-
ταστικὸν δὲ· τὸ τῇ φαντασίᾳ ὑποπίπτον· ὥς
αἴσθησις καὶ αἰσθητόν· φαντασία δέ ἐστι, πάθος
τῆς ἀλόγου ψυχῆς ὑπὸ φανταστοῦ τινὸς γινόμενον,
φάντασμα δὲ, πάθος διάκενον ἐν τοῖς ἀλόγοις

τῆς ψυχῆς μηδενὸς ὄντος ἀπ' οὐδενὸς φανταστοῦ γι-
νόμενον. οἱ δὲ στωϊκοί, τέταρα ταῦτα φασί.
φαντασία, φανταστόν, φανταστικόν, φάντασ-
μα. φαντασίαν μὲν λέγοντες, τὸ πάθος
τῆς ψυχῆς τὸ ἐν αὐτῷ ἐνδεικνύμενον καὶ τὸ
πεποιηκός, φανταστόν. ὅταν γὰρ λευκὸν ἴδω-
μεν, ἐγγίνεταί τι πάθος τῇ ψυχῇ ἐν τῷ τῆς λήψεως
αὐτοῦ. ὥσπερ γὰρ ἐν τοῖς αἰσθητηρίοις ἐγγίνεται
πάθος ὅταν αἰσθάνηται, οὕτω καὶ ἐν τῇ ψυχῇ ὅταν
ἐννοήσῃ. φησὶ γὰρ ἐν αὐτῇ δέχεται τὸ νοητόν.
φανταστὸν δὲ τὸ πεποιηκὸς τὴν φαντασίαν αἰσθη-
τόν. οἷον τὸ λευκόν. καὶ πᾶν ὅ τι δύναται κινεῖν
τὴν ψυχήν. φανταστικὸν δέ, τὸ διάκενον ἑλκυ-
σμὸν ἄνευ φανταστοῦ. φάντασμα δέ, ὥσπερ
φερόμενοι δὲ τὸν κατὰ τὸ φανταστικὸν διάκενον
ἑλκυσμόν· ὡς ἐπὶ τῶν μεμηνότων καὶ μελαγχο-
λώντων. ἡ δὲ διαφωνία τούτοις, περὶ τὸ εἶναι

λαμβάνει μόνη μέρος τῶν ὀνομάτων· ὄργανα δὲ
αὐτῆς· αἱ περὶ τὸν ἐγκέφαλον κοιλίαι· καὶ
τὸ ἐν αὐταῖς ψυχικὸν πνεῦμα· ἡ τὰ ἐξ αὐτῶν κα-
ταλαμβάνεσθαι τῷ ψυχικῷ πνεύματι· ἡ κατα-
σκευὴ τῶν αἰσθητηρίων· εἰσὶ δὲ αἰσθητήρια
πέντε· αἴσθησις δὲ μία· ἡ ψυχὴ ἡ γνωρί-
ζουσα διὰ τῶν αἰσθητηρίων, τὰ ἐν αὐτοῖς γινό-
μενα πάθη· καὶ τὸ μὲν γεωδέστατον καὶ σωματι-
κώτατον τῶν αἰσθητηρίων, ὅπερ ἐστὶν ἡ ἁφή,
τῆς γεώδους φύσεως αἰσθάνεται· τὸ δὲ αὐγοει-
δέστατον ὅπερ ἐστὶν ἡ ὄψις, τῶν αὐγοειδῶν· ὡς
καὶ τὸ ἀερῶδες, τῶν τοῦ ἀέρος παθημάτων.
ἀὴρ γάρ ἐστιν ἡ τῆς φωνῆς οὐσία· ἢ ἀὴρ
πληγή· καὶ τὸ ἀτμοειδὲς δὲ καὶ ὑδατῶδες τῶν
κατὰ τὴν γεῦσιν, τῶν χυμῶν ἀντιλαμβάνεται·
ἕκαστον γὰρ τῶν αἰσθητῶν, διὰ τοῦ οἰκείου γνωρί-
ζεσθαι πέφυκεν· ἔστι δὲ κινοῦν κατὰ τοῦτο τὸ

χῶρον. ἐπειδὴ τὰ ἀναπνέοντα ζῷα, τὰ ἀσαρκας
φανερὰς τὰς αἰσθήσεις. ἀλλ' ἐπειδή περ ὁ ὀφθαλ-
μὸς καὶ τὰ λοιπὰ ὅσα κινοῦσι γένος. μεταξὺ τὴν φύσιν
ἐστὶν ἀέρος καὶ ὕδατος. ἀέρος μὲν γὰρ ἐστὶ πα-
τὸ μεταξὺ στερεός. ὕδατος δὲ καὶ τὸ μεταξὺ στερεοῦ·
δῆλον δὲ μὲν τὸ τοιοῦτον, διὰ τῆς κρύψεως
τοῦ πάθους. οἱ γὰρ κρύπτοντες. καὶ ἀκούουσι μὲν
τὸν ἀέρα διὰ τῆς ἀναπνοῆς. καὶ περὶ δὲ τὸν
τὸν ὀφθαλμὸν οὐκ ἀντιλαμβάνονται. διὰ γὰρ
τὴν ἔμφραξιν, τὸ παχὺ μεταξὺ στερεὸν οὐκ ἀφι-
κνεῖται πρὸς τὴν αἴσθησιν. τὸ τουχαλεῖν. πε-
ριττὸν αἰσθητήριον ὀσφρήσεως ὑπὸ τῆς φύσεως
ἐξεύρηται. ἵνα μηδὲ τῶν δυναμένων εἰς
γνῶσιν ἐλθεῖν, διαφύγῃ τὴν αἴσθησιν. ἐστὶ δὲ
ἡ αἴσθησις, οὐκ ἀλλοίωσις. ἀλλὰ διάγνωσις
ἀλλοιώσεως. ἀκολουθεῖ μὲν γὰρ τῇ αἰσθήσει,
διαγινώσκει δὲ τὴν ἀλλοίωσιν, ἡ αἴσθησις. καὶ

λέγεται δὲ πολλαχῶς αἴσθησις· καὶ τὰ αἰσθητήρια
εἰσὶ δὲ αἰσθήσεις, ἀντιλήψεις τῶν αἰσθητῶν· δι-
ὰ δὲ οὐ τὸ σῶμα, ἡ ποιότης ἄνευ τῆς αἰσθήσεως,
ἀλλ' ἀπὸ τῶν ἔργων αὐτῆς. διὸ καὶ πλείους ἔχουσι τὴν
αἴσθησιν· πνεῦμα νοερὸν ἀπὸ τοῦ ἡγεμονικοῦ
ἐπὶ τὰ μέλη τεταμένον· εἶτα καὶ ἄλλως· δύναμις ψυ-
χῆς ἀντιληπτικὴ τῶν αἰσθητῶν· αἰσθητήρια
δέ, ὄργανον τῆς ἀντιλήψεως τῶν αἰσθητῶν· τὸ γέ-
νος δὲ τῶν αἰσθήσεων λέγεται ψυχῆς καὶ σώματος κοινω-
νίαν πρὸς τὰ ἐκτός· ἡ μὲν γὰρ δύναμις ψυχῆς, τὸ δέ,
ὄργανον σώματος· ἄμφω δὲ τὰ φαντασίας ἀντι-
ληπτικὰ τῶν ἔξωθεν. τῶν δὲ ψυχικῶν, τὰ μέν ἐστιν ὑ-
πουργικὰ καὶ δορυφορικά, τὰ δὲ ἀρχικὰ καὶ ἡ-
γεμονικά· ἀρχικὰ μέν, τό τε διανοητικὸν καὶ τὸ φαντα-
στικόν· ὑπουργικὰ δέ, τὰ αἰσθητικά, κινητικὰ
θορμητικὰ κινήσεως· καὶ τὸ φωνητικόν· ἡ γὰρ ἡ κίνησις
καὶ ἡ φωνή, ὀξύτατα, καὶ ταχύ· ἀεὶ ὡς ἀκολουθεῖ

βουλῇ τοῦ λογισμοῦ· ἅμα γὰρ ἢ καθὰ τὸ αὐτὸ
θέλομεν τότε κινούμεθα. ὅθεν οὐδὲ ἐπαισθανόμε-
νοι μεταξὺ χρόνου τῆς τε βουλήσεως καὶ τῆς κινή-
σεως. ὡς ἐπὶ τῆς κινήσεως τῶν δακτύλων
ἐστὶν ἰδεῖν. καὶ τῶν φυσικῶν δὲ ἔνια, ὑπὸ τὴν ἡγε-
μονίαν ἐστὶ τοῦ διανοητικοῦ· ὡς τὰ καλούμενα
πάθη:

## περὶ ὄψεως:

Ἡ ὄψις ὁμωνύμως λέγεται· καὶ γὰρ τὸ αἰσθητήριον· καὶ
ἡ δύναμις ἡ αἰσθητική. Ἵππαρχος δέ φησιν ἀκ-
τῖνας ἀπὸ τῶν ὀφθαλμῶν ἀποτεινομένας. τοῖς πέ-
ρασιν ἑαυτῶν καθάπερ χειρῶν ἐπαφαῖς. καθα-
πτούσας τοῖς ἐκτὸς σώμασι, τὴν ἀντίληψιν αὐτῶν
πρὸς τὸ ὁρατικὸν ἀναδιδόναι. οἱ δὲ γεωμέτραι.
κώνους τινὰς ἀναγράφουσιν ἐκ τῆς συνεμπτώσεως
τῶν ἀκτίνων γινομένους. τῶν ἐκπεμπομένων
δὲ ἀπὸ τοῦ ὀφθαλμοῦ ἐπὶ τὰ ἀριστερά. τῶν δὲ ἀριστερῶν,

ἐπὶ τὰ δεξιά. ἀπὸ δὲ τῆς συνεμπτώσεως αὐ-
τῶν ἀποτελεῖσθαι κῶνον. ὅθεν ὁμοῦ μὲν πολλὰ
περιλαμβάνειν ὁρατὰ τὴν ὄψιν. βλέπειν δὲ ἀ-
κριβῶς ἐκεῖνα. ἔνθα ἄν, συνεμπίπτωσιν
αἱ ἀκτῖνες. τοῦτο γοῦν πολλάκις ὁρῶντες ἐπὶ τοῦ ἐ-
δάφους. ἐρριμμένον τὸ ἑαυτῶν νόμισμα καὶ
ἀτενίζοντες ἐπὶ τὸ πλεῖστον. ἕως ἂν αἱ συμβο-
λαὶ τῶν ἀκτίνων ἐπ' ἐκείνῳ γένωνται τῷ μέρει. ἔνθα
κεῖται τὸ νόμισμα. καὶ τότε τιθέασι περιστοιχούμενοι
αὐτοῦ. ὥστε τὸ πρῶτον ἀρξάμενοι περιέχειν.
οἱ δὲ ἐπικούρειοι. ἀπὸ τῶν φαινομένων πρὸς
ποιοῦνται τοῖς ὀφθαλμοῖς. αἰτιολογεῖ δὲ εἴδωλον
σωματικόν, ἀλλὰ τοιαύτης δι' ἀλλοιώσεως
τοῦ περιέχοντος ἀέρος. ἀπὸ τῶν ὁρατῶν ἄχρι τῆς ὄ-
ψεως παραγίνεσθαι. πλάτων δὲ κατὰ συναύ-
γειαν. τοῦ μὲν ὀφθαλμοῦ φωτός, ἐπὶ ποσὸν ἀπο-
ρέοντος εἰς τὸν ὁμογενῆ ἀέρα. τοῦ δέ, ἀπὸ

τῶν σωμάτων, ἀντιφραττομένου, τοῦ δὲ προτέρου
μεταξὺ ἀέρα διὰ τάχους ὄντα καὶ συνεκτείνοντος τῷ
νεωτερομένου τῷ ποῦ ἐστὶ διὰ τῆς ὄψεως· μάλιστα
δὲ σύμφωνος Πλάτωνι περὶ τῆς ὄψεως ἐν τῷ τι
μαίῳ τῆς συμφωνίας λέγει· γελοῖον δ' ἂν τῷ πρὸς τοῦ πο
ενδὸν· ἅπερ γὰρ ἀπὸ τῶν ὀφθαλμῶν ἀφικνοῖτο μέ
χρι τίς· ἢ δύναμις· ἢ ἀπόρροια· ἢ ποιότης τῶν ὁρω
μένων σωμάτων, οὐκ ἂν τοῦ βλεπομένου τὸ μέ
γεθος ἔγνωμεν· οἷον οὐρανοῦ ἀπάντων μεγίστου· τηλι
κοῦτον γὰρ ἀπόρροιαν ἐμπίπτειν τοῖς ὀφθαλμοῖς ἡ
μῶν, παντάπασιν ἄλογον ἀλλὰ μὴν καὶ τὸ πνεῦ
μα τὸ ὀπτικὸν· οὐ χωροῦντος αὐτοῦ ἰδίων ἐκτεινο
μένου λαμβάνειν· ὡς περιέχεσθαι πάντα τὰ βλε
πόμενα· λείπεται οὖν τὸν περιέχοντα ἀέρα· τοιοῦτον
ὄργανον ἡμῖν γίγνεσθαι· καθ' ὃ ὁρῶμεν χρόνον τε,
ὅπερ ἐν τῷ σώματι τὸ νεῦρον ἐν ὑπάρχῃ τὸ ὀπτικόν.
τοῦτο γάρ τι παραγινόμενον ὅπερ ἐστὶν ἡμᾶς ἀήρ.

ἤτοι γὰρ αὐγὴ τοῦ ἡλίου φαίνουσα τὸν ἄνω περὶ ἑαυτῆς
τὸν ἀέρα· διαλύσει οὖν ἅπαντα τὸ ὅλον τὴν δύναμιν. ἢ τὸ
διὰ τῶν ὁποτινῶν νεφῶν αὐγὴ φερομένη, τιμωμένου
ὅταν ἔχῃ περικυματωτικήν. ἐμποιεῖ τοῦτο δὲ τῶν
περιέχουσι· ἢ τῇ περὶ τὸ περιστροφὴν ἀλλοιῶσαι
ἐργαζομένη, διάδοσιν οὖν ἀεὶ παλαιοῦ· ζῷον ἔχοντα
ἐν αὐτῷ ἀέρι ἐξάν· ἀσαντί τὸ τοῦ τῆς ἐμποιοῦσα σῶμα.
γίνεται γὰρ ὁ ἀὴρ· ὄργανον τῶν ὀφθαλμῶν πρὸς τὴν
τῶν ὁρωμένων διάγνωσιν, τοιοῦτον. οἷόνπερ
γνέφαλον κυάνεον. ὡς τοῦ ἐξ ἀλλὰ ὑγρῶν ἐγνέφα
λος πρὸς τὸ κυάνεον, τοῦ τὸν ἑξῆς ὀφθαλμὸς πρὸς τὸν
ἀέρα· ἐψιγμένον ὑπὸ τῆς ἡλιακῆς αὐγῆς· ὅτι
δὲ πέφυκεν ὁ ἀὴρ τοῖς πλησιάζουσι σώμασι,
ἐξομοιοῦσθαι, δῆλον ἐντεῦθεν· πυρροῦ τινὸς ἢ
κυανοῦ· ἢ καὶ ἀργυροῦ· λαμπροῦ διαφερομέ
νου φωτὸς ὄντος, ὑπὸ τοῦ δ' ἐγκεχέντος. ἀλλοι
οῦσθαι τὸν ἀέρα· περιφυέος δὲ ἐντεῦθεν περὶ αὐτὴν

σεως· ἤτε κινοῦσιν· ἤτε ἠρεμοῦσιν· ἤτε ἄλλο τι
φησὶν αἴτιον εἶναι τοῦ ὁρᾶν· ἀλλὰ τὴν ψυχὴν αὐ-
τὴν ἐν τῷ ζῴου σώματι τοῖς ὁρατοῖς· ἐπεὶ γινώσκειν
ἑαυτὴν οὐ δύναται ὁρᾶν· τὴν ψυχὴν συνέχειν
πάντα τὰ ὄντα· καὶ εἶναι τὰ πάντα ψυχήν· ζωὴν γοῦν
ζῶν σώματα διαφέρει· μίαν γὰρ βουλόμενος εἶναι
πάντων ψυχὴν τὴν λογικήν· ἁπλῶς φησὶ γινώ-
σκειν ἑαυτὴν ἐν πᾶσι τοῖς οὖσιν· ὁρᾶ δὲ ἡ ὄψις
καὶ τὰς ὁρατὰς γραμμάς· αἰσθάνεται δὲ καὶ τὸ περὶ
τὸν μὲν λόγον τῶν χρωμάτων· ζῴδια γινώσκει δὲ
αὐτοῖς· καὶ τὸ κεχρωσμένον σῶμα· καὶ τὸ μέγεθος αὐ-
τοῦ· καὶ τὸ σχῆμα· καὶ τὴν χώραν ἔνθα ἐστί· καὶ τὸ διά-
στημα· καὶ τὸν ἀριθμόν· καὶ κίνησιν καὶ στάσιν· καὶ τὸ
τραχὺ καὶ λεῖον· καὶ τὸ μέσον καὶ ἀνώμαλον· καὶ τὸ ὀξὺ·
καὶ τὸ ἀμβλύ· καὶ τὴν σύστασιν· ἤτε ὑδατώδης ἐστὶν οἷον
ὑγρόν· ἢ ξηρόν· τὸ μὲν οὖν ἴδιον αὐτῆς αἰσθητόν
ἐστι τὸ χρῶμα· διακριτικὴ γὰρ τῆς ὄψεως· τῶν χρωμάτων

ἀντιλαμβανόμεθα· εὐθέως γὰρ ζῷον τῷ χρώματι·
ἢ τὸ κεχρωματισμένον σῶμα· ἢ τὸ τί ποσὸν ἐν ᾧ τὸ γί-
νεται οὗ τὸ ὁρώμενον, ἢ τὸ διάστημα τὸ μεταξὺ τοῦ τε
ὁρῶντος καὶ τοῦ ὁρωμένου· ὁπόταν γὰρ τῶν αἰσθή-
σεων συνεμφαίνεται καὶ τὸ σῶμα, ταύτης εὐθέως
καὶ ὅτι ποσὸν ζῷον διαγινώσκεται· ὡς τῇ ἁφῇ καὶ
τῇ γεύσῃ· ἀλλ' αὗται μὲν τὸ κείμενον, ὅταν πρὸς
πελάσωσι τῷ σώματι σῶμα, αἰσθάνονται· πλὴν τοῦ
ἑξῆς διαισθησομένων, ὄψις δὲ καὶ ὄσφρησις·
ἔπειτα δὲ πόρρωθεν ἀντιλαμβάνεται τῶν ἰδίων
αἰσθητῶν, ἀναγκαίως ἐπακολουθήσει, τὸ μόνον
ὅσον καὶ διάστημα· τὸ δὲ μέγεθος τὸ κείμενον δι-
αγινώσκει· ὅταν τὸ φαινόμενον δείκνυται διὰ μιᾶς
προσβολῆς περιλαβεῖν· ἐν οἷς δὲ μείζονά ἐστι τὸ ὁ-
ρώμενον ἢ κατὰ μίαν προσβολὴν περιλαμβά-
νεσθαι, ἐν τούτοις ἡ ὄψις δεῖται καὶ τῆς μνήμης·
καὶ τῆς διανοίας· κατὰ μέρος γὰρ αὐτὸ θεωμένη καὶ δ

χύφεν ὅλην, ἀναγκαίως ἀστέρων ἀφ' ἑτέρου
μεταβαίνῃ. καὶ τὸ μὲν κατὰ ποσὸν ἀφῃρημένα τῶν με-
ταβάσεων, αἴσθησιν ἔχει. τὰ δὲ κατὰ ποσὸν ἐν τῷ σω-
ματικά, ἡ μνήμη μὴ διαφυλάττει. συνάγει δὲ ἀμφό-
τερα ἡ διάνοια. τό τε αἰσθητὸν καὶ μνημονικόν. τὸ
μὲν οὖν μεγέθους, ὀλίγως ἀντιλαμβάνεται. ποτὲ
μὲν μόνη. ποτὲ δὲ μετὰ μνήμης καὶ διανοίας. τὸ
δὲ ἀριθμοῦ τῶν ὁρωμένων τὸ ὑπὲρ τὰ τρία ἢ τέσ-
σαρα. τὸ καὶ κατὰ μίαν προσβολὴν ὁρωμένου.
καὶ τῶν κινήσεων. καὶ τῶν σχημάτων τῶν πολυγώνων,
οὐδὲ ποτὲ μόνη. ἀλλὰ μετὰ μνήμης καὶ διανοίας.
οὐ γὰρ δύναται τὸ πέντε. καὶ ἕξ. καὶ ἑπτά. καὶ πολλά. χωρὶς
μνήμης συναγαγεῖν. ὅθεν οὐδὲ τὰ ἑξάγωνα καὶ ὀκτά-
γωνα καὶ πολύγωνα σχήματα. καὶ κινήσεις δὲ κατὰ μετά-
βασιν γινόμεναι, τὸ μὲν ἐκ περάτων. τὸ δὲ εἰς πέρας.
ἔνθα δὲ πρότερόν ἐστι καὶ ὕστερον ἐπὶ τοῦτο, τοῦτο μνή-
μη μόνη διαφυλάττει. τῶν δὲ ἄνω καὶ κάτω. καὶ τὸ ἄνω=

μᾶλλον ἢ ὁμαλόν· ὡς ἄλλως δὲ καὶ τὸ τραχὺ ἢ
χᾶον· ἢ τὸ ὀξὺ ἢ ἀμβλύ· κοινὰ τῆς ἁφῆς καὶ τῆς
ὄψεώς ἐστιν· ἐπειδὴ καὶ μόνα τὸν τόπον διαγινώ-
σκουσι· χρήζουσι δὲ καὶ διανοίας· μόνον γὰρ ἐ-
κεῖνο τὸ κατὰ μίαν προσβολὴν προσιὸν τῇ τῆς
αἰσθήσει ἀθρόως μόνης αἰσθήσεως ἔργον ἐστί· τὸ δὲ
κατὰ πλείους γινομένης· ἀλλὰ καὶ μνήμης καὶ
τῆς διανοίας· ὡς ἔμπροσθεν ἐδηλώθη· τῶν δὲ
διαφανῶν· καὶ μετὰ τοῦ βάθους διικνεῖσθαι πέ-
φυκεν ἡ ὄψις· ἀεὶ εἰς μὲν προτέρως καὶ μάλιστα· ὁ-
λον γὰρ διεξέρχεται διὰ τοῦ κενοῦ· ὕδατος δὲ ἐ-
μετὰ τοῦ στερεοῦ καθαροῦ· τοὺς ἰχθῦς γοῦν νηχομένους·
ὁρῶμεν· ἢ τοῦτο δὲ διὰ τὸ ἄλλο καὶ τῶν ἄλλων τῶν τοιού-
των φῶς· δῆλον δὲ ὅτι προερωτισμένων· ἔτι καὶ τοῦ
τὸ ἴδιον αὐτῆς· μὴ ἀπαλλάττοι δέ τινας ὡς καὶ τοῦ
θερμοῦ ἡ ἀντίληψις· ὁ φεύγεις ἐστίν· ἐπειδὴ τὸ πῦρ
ὁρῶντες ἴσμεν εὐθέως ὅτι καὶ θερμόν ἐστιν· ἀεὶ γὰρ

ἐπὶ τῶν πρώτων ὄψιν ἀναγκαίως τὴν λέγομεν, διὰ τῆ-
σας ὡς τὸ ἐπὶ τὸ πρῶτον ἡ ὄψις ἐθεάσατο τὸ πῦρ,
μόνου τοῦ χρώματος· καὶ τοῦ σχήματος ἔσχε τὴν ἀν-
τίληψιν· προσελθούσης δὲ καὶ τῆς ἁφῆς· ἐγνω-
ρίσαμεν ὅτι καὶ θερμόν ἐστιν· ὅπερ διεφύλαξεν ἡ
μνήμη· παραλαβοῦσα παρὰ τῆς ἁφῆς· νῦν οὖν
ὅταν θεασώμεθα πῦρ ὅπου δήποτε ἄλλο βλέπομεν· ἢ
τὸ σχῆμα καὶ τὸ χρῶμα τοῦ πυρός ἐστιν· ἡ δὲ διάνοια συμ-
παραλαμβάνει τοῖς ὁρωμένοις διὰ τῆς μνήμης τὸ
θερμὸν τοῦτο· ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ μήλου· ὁ γὰρ
ἀντιλαμβανόμενος τοῦ χρώματος καὶ σχήματος ὁ δὲ ποιότη-
τα ἐμήλου· ἀλλὰ καὶ τῆς ὀσμῆς καὶ τῆς παλαιῶν
κεῦσιν ποιότητος· οὐχὶ καὶ τούτων ἡ ὄψις ἀντιλαμβά-
νομένων· δῆλον ὅτι μὴ λόγος ἐστὶν ἀλλ' ἡ ψυχὴ τῶν μνη-
μῶν ἀποσώζεται τὰ ἐντεῦθεν ὀσφρήσεως τε καὶ γεύσεως·
ἅμα τε τῷ θεάσασθαι συνεισφέρεται καὶ ταῦτα τῷ σχήματι
καὶ τῷ χρώματι· ὅθεν οὖν ... μᾶλλον νομίσωμεν.

ἀληθινὸν εἶναι μῆλον. ὁ γὰρ ὀφθαλμὸς κρίνει ἢ ἐξετάζει τὸ
μῆλον· ἀλλ᾽ ἡ διάνοια. ὁ γὰρ ὀφθαλμὸς ἐν τοῖς ἰδίοις αἰ-
σθητοῖς ἀδιάφορα· τὰ γὰρ μεγέθη καὶ τὰ σχήματα σω-
μάτων. αἱ μὲν οὖν τελεώτεραι τῶν αἰσθήσεων, ἥ τε ὄψις καὶ
ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις· τῶν ἔξωθεν καὶ μὴ προσπε-
λαζόντων ἀντιλαμβάνονται, διὰ μέσου τοῦ ἀέρος.
ἡ δὲ γεῦσις· οὐκ ἄλλως αἰσθάνεται· ἐὰν μὴ προσ-
μιχθῇ τὸ αἰσθητόν. ἡ δὲ ἁφὴ ὑπὲρ ἀμφότερα κεῖται· καὶ γὰρ
πλησιάζοντα τοῖς σώμασι καὶ διαμενούσης αἰσθάνεται-
βλον. πολὺ μὲν οὖν ἡ ὄψις τῆς ἐπὶ μαρτυρίας κρείττων
τῆς τῶν ἄλλων αἰσθήσεων· οἷον τὸ ὑφαινόμενον ἢ
ἐπιτετεχνημένον προσάπτειν· ὡς ἐπὶ τῆς γρα-
φῆς· γραφικῶς δὲ ἔργον· ἀπατᾶται τὴν ὄψιν ἐξοχῆς
ἐν ποικίλμασιν· ἃ τῷ πράγματι οὐ ταῦτα
ἔχει τῇ ὄψει· ἔνθα, τὸ ἀπατᾶσθαι διαγνῶσιν. μάλιστα
μὲν τῆς ἁφῆς· ἔστι δὲ καὶ τῆς γεύσεως· ἢ ὀσφρή-
σεως· ὡς ἐπὶ τοῦ κηρίνου μήλου· παθεῖν αὐτῷ

ἐναργῶς παρεῖσποιεῖ τὰ φαινόμενα. ὅταν μὴ
πόρρωθεν ὄντα. τὸν γοῦν πύργον τὸν τετράγωνον
στρογγύλον ὄντα πόρρωθεν. σφάλλεται δέ. ἢ
ὅταν δι᾽ ἀχλύος ἢ καπνοῦ βλέπωμεν, ἢ τινὸς
τῶν παραπαραπλησίων τῶν ἐπιθολούντων τὴν
ὄψιν. ὁμοίως καὶ ὅταν δι᾽ ὕδατος κινουμένου.
ἢ γὰρ ἐν τῇ θαλάσσῃ. τὴν κώπην κεκλασμέ-
νην οὖσαν. ὁμοίως καὶ ὅταν διά τινος διαφανοῦς
ὕλης βλέπῃ. ὡς ἐπὶ τῶν ἐσόπτρων καὶ τῆς ὑάλου.
καὶ τῶν ἄλλων τῶν τοιούτων τρόπων. ἢ ὅταν ὀξὺ
κινῶνται τὰ ὁρώμενα. οἷον ταράσσει γὰρ τὴν ὄψιν
ἡ ταχεῖα κίνησις. ὡς στρογγύλα τὰ μὴ στρογγύλα
βλέπειν. καὶ ὡς ἑστῶτα, τὰ κινούμενα. ἢ ὅταν ἡ δι-
άνοια πρὸς ἄλλοις ἀσχολῆται. ὡς ἐπὶ τῶν παρερχο-
μένων μὲν συνήθων φίλων. καὶ ζητούντων μέν.
παρελθόντος δὲ αὐτοῦ. τὴν τῶν διάνοιαν αὐτοῦ
πρὸς ἑτέροις ἔχειν. ἐκ τούτου δὲ τοῦ τὸ διά-

μαρτύρημα τῆς ὄψεως. ἀλλὰ τοῦ νοῦ. ἡ μὲν γὰρ
δεῖ καὶ ἀπαγγέλλει. ὁ δὲ νοῦς ὅπερ οἱ ἄγγελοι ἀ-
παγγελθῇ οἱ. γινώσκων δὲ μάλιστα περὶ ἐ-
ναργῆ διάγνωσιν ἡ ὄψις γένηται. ἀβλαβοῦς
αἰσθητηρίου. οὐ μεμολυσμένου τῆς κινήσεως καὶ δι-
αστήματος, ἀέρος καθαροῦ δὴ καὶ λαμπροῦ :-
Ἐπεὶ οὖν μετὰ τῶν ἄλλων αἰσθητηρίων, διπλοῦν
ὁ δημιουργὸς κατεσκεύασε. καὶ τὸ πολὺ τιμιώτερον
μορίῳ τοῦ σώματος περιέγραψε. ἢ γὰρ ὀφθαλ-
μοὺς δύο. καὶ ὦτα δύο. καὶ τὸ περὶ ὀσφρήσεως αἰ-
σθήσεως ἐν τῇ ῥινὶ πεποίηκε. καὶ γλώττας δὲ
δύο πᾶσι τοῖς ζώοις ἐνέφυσεν. ἀλλὰ τοῖς μὲν
διηρημένας ὡς τοῖς ἀνθρώποις. διὰ τοῦτο καὶ
δύο τὰς προσθίους κοιλίας μόνας τοῦ ἐγκεφάλου
πεποίηκεν. ἵνα ἐξ ἑκατέρας κοιλίας τὰ αἰ-
σθητικὰ νεῦρα καταπεμπόμενα, διπλᾶ πάντα
τὰ αἰσθητήρια. διπλᾶ δὲ αὐτὰ πεποίηκεν, δι-

ὑπερβάλλουσαν κηδεμονίαν· ἵνα τὰ διαλέκτου
παιδεύοντες, τὸ προείλατο προσομιλοῦν τάξει τῶν αἰσθη-
σιν· ἀλλὰ τῶν μὲν πλάστων αἰσθητηρίων διαφθα-
ρομένων, δι' ἑαυτῆς αὐτὴν τὴν ζωὴν καταβλα-
πτειν τὸ ζῷον. ἁφὴ γὰρ μόνη τῶν αἰσθήσεων
κοινὴ πάντων ἐστὶ τῶν ζώων. πᾶν γὰρ ζῷον ἁφὴν
ἔχει· οὐ τὰς ἄλλας αἰσθήσεις, ἀλλὰ πάντα πάντως·
ἀλλ' ἔνια ἔνια· πάντως δὲ ἔχει τὰ ἔλαττα ὀλίγα·
ἐπειδὴ τὸ ἄνευ ταύτης οὐδὲν τῶν ζῴων ἦν καὶ ἡ μὴ ἔχοι. — ἐκινδύνευε ζῷον:
διὸ τὸ μόριον ὃ δὴ μὴ σύμφορον ἀποπληρῶσαι
τῆς ἁφῆς· ἀλλὰ πᾶν σχεδὸν τὸ σῶμα τοῦ ζῴου, πλὴν
μερῶν καὶ ὀνύχων καὶ κεράτων· ὀστῶν δὲ ὅσπερ
τε καὶ τριχῶν, ἢ ἄλλων τινῶν τοιούτων· πᾶν μό-
ριον τοῦ σώματος. τῆς ἁφῆς ἀντιλαμβάνεται·
συμβέβηκε μὲν ὥσπερ καὶ ὅσον τῶν αἰσθητηρίων.
διὰ πολλὰς ἔχειν αἰσθήσεις· τὸ μὲν, τῶν ἰδίων
αἰσθητῶν· τὸ δὲ, τῆς ἁφῆς· ὡς ἡ ὄψις. ἡ

μετὰ τὰ χρώματα διακρίνει· καὶ τῶν θερμῶν καὶ
ψυχρῶν ἀντιλαμβάνεται· ἀλλὰ τῶν μὲν μέσως
σωμάτων· τῶν δὲ χρωμάτων, ὡς ὄψις· ὥσπερ αὖ
τῶν δὲ καὶ γεύσεις· καὶ ὀσφρήσεις· καὶ ἀκοή· κοινὸς
οὖν παντός ἐστι τοῦ σώματος ἡ ἁφή· ὥσπερ ἀ-
πὸ τῶν προσθίων κοιλιῶν τοῦ ἐγκεφάλου λέγομεν
εἶναι τὰς αἰσθήσεις· ἢ δηλονότι νεύρων καὶ
φυομένων ἐξ ἐγκεφάλου· καὶ διασπειρομένων
εἰς πᾶν μέρος τοῦ σώματος· ἡ τῆς ἁφῆς αἴσθησις
προσγίνεται· ἐπειδὴ δὲ πολλάκις ὑπὸ ἀκάνθης
πληγέντες τὸν πόδα· τῆς κεφαλῆς τέως τῆς τεί-
χους φείσθημεν, ὡς ἐνθυλάντινες τὸ πάθος ἢ τὴν
αἴσθησιν τοῦ πάθους· ἐκ τοῦ ἐγκεφάλου ἀναπέ-
μπεσθαι· ἀλλὰ περὶ τῶν ἀληθῆς ἔστι τὸ ὅλον γε ἰ-
δὲ καὶ ἄλλη τὸ λεγόμενον μόριον· ἀλλ' ὁ ἐγκέ-
φαλος βέλτιον ἐντελέστερον ἐν τῷ ἐγκεφάλῳ
ἐστι· καὶ φαρμάκοις ἐστὶν ἐκ τοῦ κεφάλου διάπαν-

τῆς ἑαυτοῦ τὸ ψυχικὸν ἔχον πνεῦμα, ὡς ὁ
περιπεπλασμένους σπόγγοις· ἔχει τὸ πῦρ· διὰ
τοιοῦτον. ἔνθα ἂν νεῦρον αἰσθητικὸν ἐμφύ-
ηται, ἐκεῖνο τὸ μέρος αἰσθήσεως ὑπ' αὐτοῦ
μεταλαμβάνει. καὶ γίνεται αἰσθητικόν. ἄλλο
δὲ μέρος ἄλλο τὸ ἐγκέφαλον καὶ τὴν ἀρχὴν τῶν πλεόνων
τὸν ἐγκέφαλον ἀναπέμπεσθαι. ἔστι τὸ πάθος.
ἀλλ' οὐκ αἴσθησιν τινὰ καὶ ἀπαγγελίαν τοῦ σωμα αἰσθητά τινα
πάθους. ἔστι δὲ ἴδιον αἰσθητὸν ἁφῆς. τὸ θερ-
μόν. ψυχρόν. τὸ μαλακόν. ἢ σκληρόν.
ἢ ὑγρόν. ἢ ξηρόν. βαρὺ ἢ κοῦφον.
διὰ μόνης γὰρ τῆς ἁφῆς. ταῦτα γνωρίζεται. κοι-
νὰ δὲ ἁφῆς καὶ ὄψεως. τὸ ὀξὺ ἢ ἀμβλύ. ἢ τὸ
τραχὺ ἢ λεῖον. τὸ ξηρὸν ἢ ὑγρόν. ἢ παχὺ
ἢ λεπτόν. ἅπαντα. ἢ γὰρ ὁ τόπος. τὸ μέ-
γεθος ὅλον ἢ τοιοῦτον. ὡς κατὰ μίαν προσβο-
λὴν τῆς ἁφῆς περιλαμβάνεσθαι. ἢ τὸ πυκνὸν

δὲ καὶ τὸ μανὸν· καὶ τὸ στρογγύλον· ὅταν ἢ μήκεσιν ὡς
ἢ ἄλλαις τισὶν ἀφήμασι· ὁμοίως δὲ καὶ τῆς κινήσεως
τὸ συμπαρατείνοντος αὐτῇ σώματος αἰσθάνεται· τῷ
τῇ μνήμῃ καὶ τῇ διανοίᾳ· ὡσαύτως δὲ καὶ ἀριθμοῦ.
ἀλλὰ μὴ χεῖρον οἷον ἡ λείων· καὶ τῶν μὴ μικρῶν ἢ
ῥᾳδίως περιλαμβανομένων· μᾶλλον δὲ τῆς ἁφῆς·
ἡ ὄψις τούτων ἀντιλαμβάνεται· ὥσπερ καὶ τοῦ ὁ-
μαλοῦ καὶ τοῦ ἀνωμάλου· τοῦ γὰρ γλυκέος ἐστὶ τοῦ τε λείου
καὶ τραχέος· συμπεπληρωμένα γὰρ ἀνώμαλα μὲν τὰ
τραχύτητα· ὁμαλότης δὲ πυκνότητι· λειότητα
πολλά· διὰ λεπτότητος τῶν ἠρεμημένων· ὥσπερ καὶ κοι-
νωνίαν αἱ αἰσθήσεις αὐτῶν πρὸς ἀλλήλας ἔ-
χουσι· καὶ γὰρ τῆς ἁφῆς εἰς τὰ διαμαρτήματα· ἡ ἑ-
τέρα διαστροφή· ἕτεροι μὲν τῆς γραφῆς· ἡ μὲν ὄψις·
ἔξω χαρακτῆρας ὁρᾷ εἰ μὴ τότε καὶ τῶν ἄλλων, ἡ δὲ ἁφὴ
προσελθοῦσα· διήλεγξεν αὐτῆς τὸ διαμάρτημα·
ὥσπερ δὲ καὶ ἡ ὄψις ἀεὶ καὶ πάντα διαμετρεῖ τὸν ἀέρος

ὅρα· δῆλον ὅτι ἡ ἁφή· διακόνισσα τῆς βασιλείας
τῶν σκληρῶν καὶ μαλακῶν καὶ ὑγρῶν αἰσθάνεται·
ἀλλὰ οὐ μονοειδῶς ἢ μετὰ διανοίας. ἀκριβε-
στάτην γὰρ ἔχει ταύτην τὴν αἴσθησιν ὁ ἄνθρωπος.
ταύτῃ γοῦν καὶ τῇ γεύσῃ· πλέον ἔχει ταύτην τὴν αἴ-
σθησιν ὁ ἄνθρωπος. ταύτῃ γοῦν καὶ τῇ γεύσῃ.
πλέον ἔχει τῶν ἄλλων ζώων. κατὰ δὲ τὰς ἄλλας
λείπει ἡττώμενος· ἄλλο μὲν γὰρ ζῶον κατ' ἄλλην
αἴσθησιν τῶν λείων· πλέον κατὰ τὸν ἄνθρωπ-
όντων. ἐν τοῖς λείοις ἅμα· ὀξύτερον γὰρ
καὶ ἀκούει καὶ βλέπει· καὶ ὀσφραίνεται· ὡς δῆλον
ἐκ τῶν ἰχνευόντων κυνῶν. καὶ παντὸς σῶμα
τῆς ἁφῆς ἐστὶν αἰσθητήριον ὡς καὶ πρόσθεν εἴρη-
ται. μάλιστα δὲ τῶν χειρῶν τὰ ἔσωθεν. καὶ τούτων
ἔτι μᾶλλον τὰ ἄκρα τῶν δακτύλων. ταῦτα γὰρ ὥσ-
περ γνώμονας ἀκριβεῖς τῆς ἁφῆς ἔχομεν. διὰ γὰρ
μόνον ἀντιληπτικὸν ὄργανον ὁ δημιουργὸς τὰς

χεῖρας καθικνούμενον. ἀλλὰ καὶ ἀπτικόν. διὰ τοῦτο καὶ τὸ δέρμα λεπτότερον ἔχουσι. καὶ μῦς αὐτῆς ὅλης ἔσωθεν ὑπέστρωται. ἵνα εἰ χωρὶς ἀμοιροῦσιν. ἵνα μᾶλλον τῶν ἁπτῶν ἀντιλαμβάνωνται. τοῦ δὲ τὰ ἰσχία αὐτὰς μὴ φθάνειν. ὅτι περ σαρκωμένοι μῦς γέγονεν αἴτιος. τῶν δὲ χρεῶν. αἱ μὲν σκληρότεραι. πρὸς ἀντίληψιν ἀσφαλεστέραι. αἱ δὲ μαλακώτεραι. πρὸς τὴν ἀφὴν ἀκριβεστέραι. ὥσπερ καὶ τῶν νεύρων τὰ μὲν σκληρά. πρὸς κίνησιν. τὰ δὲ μαλακὰ πρὸς αἴσθησιν ἀσφαλῶς ἐπιτήδεια. τῶν γὰρ αὐτῆς ἁφῆς ἐστὶν ὄργανα. διὰ τούτων γὰρ ἡ τῆς ἁφῆς αἴσθησις γίνεται.

## περὶ φιμώσεως

Τῶν μὲν ὄψιν. ἐν τοῖς ἔμπροσθεν. ὅθεν ἀπομένει κατ' εὐθείας γραμμὰς ὁρᾶν. ἡ δὲ ὄσφρησις καὶ ἡ ἀκοή. οὐ κατ' εὐθεῖαν μόνον. ἀλλὰ πανταχόθεν ἁφῆς

διὰ τῆς γεύσεως· ὅτι καὶ τὰς εὐθείας γραμμάς· ὅτι
πανταχόθεν γνωρίζουσιν. ἀλλὰ τὸ τεμένον· ὅ-
τον αὐτοῖς πλησιάζουσι τοῖς ἰδίοις αἰσθητοῖς·
πλὴν τῶν ἢ διακεχωρισμένων· ἔστι δὲ ἡ γεῦσις τῶν
χυμῶν ἀντιληπτική. ὄργανα δὲ αὐτῆς· ἡ γλῶττα.
καὶ ταύτης μάλιστα τὸ ἄκρον. ἔτι καὶ ὁ οὐρανίσκος ἡ ὑ-
περῷα. ἐν οἷς ἐστι τὰ ἐξ ἐγκεφάλου φερόμε-
να νεῦρα τὰ πλατυσμένα. ἃ ἀπαγγέλλοντα
τὴν γινομένην ἀντίληψιν πρὸς τὸ ἡγεμονικόν·
τῶν δὲ χυμῶν αἱ γεύσεις καὶ καλοῦνται ποιότητες.
εἰσὶν αὗται· γλυκύτης. ὀξύτης. δριμύτης. στρυ-
φνότης. αὐστηρότης. πικρότης. ὀξύτης. δριμύ-
της. στρυφνότης. αὐστηρότης. πικρότης. ἁλ-
μυρότης. λιπαρότης. τούτων γὰρ ἐστὶν ἡ γεῦσις
διαγνωστική. καὶ ταύτας δὲ τὰς ποιότητας
εἰς τὸ ὕδωρ ἀποτελεῖ γεννᾷ. τῶν μὲν δὲ πάντων τούτων
ἐμφαίνεται ἡ γεῦσις ποιότητα. καὶ τὰς ἄλλας.

οἷον ψυχρότητα καὶ ὑγρότητα. συμφυῆ δὲ ἔχει τὴν
ποιότητα. στρυφνότητα δὲ καὶ αὐστηρότητα. τῷ
μᾶλλον καὶ ἧττον στρυφνοῦ ἀλλήλων διαφέρουσιν.
αἱ μὲν οὖν ἁπλαῖ γευστικαὶ ποιότητες, αὗται
μόναι φαίνονται. ζητεῖται δέ μοι εἰ ἄρα. καθό-
λικον γὰρ ἑκάστου ζῴου ἢ φυτοῦ. ἰδιάζουσαι ποιότη-
τες φασίν. ἄλλοις γὰρ ἀνθρώποις. ἑτέρου ποι-
ότητος ἀντιλαμβανόμεθα. καὶ ἄλλοις αἰγίου.
διὸ καὶ μὴ μαθόντες ὁποῖόν ἐστι τὸ περισσὸν κεραμ-
νείας. ἐντεῦθεν γοῦν σαφῶς γνωρίζομεν. τοῦτο δὲ οὐ
κατὰ τὴν διαφορὰς τῶν ὑποκειμένων γευστῶν
ποιοτ. ὅθεν δὴ καὶ τὰς αὐτὰς γλυκείας προειλα-
βοι. ἀπέχουσι ὄντας. καὶ πάντως ἀλλήλων δια-
φέροντας. καὶ γὰρ ἐν τοῖς ἑκάστης ἰδιότητας τῶν
ἁπλῶν ποιοτήτων. καὶ ἐν τούτοις γνωρίζομεν ἡ κα-
τὰ γένος τῶν γευστῶν διαφορά. ἰδιαίτατος γοῦν καὶ στυφῖ-
τος καὶ φοινικοῦς. μία μὲν ἑκάστη ποιότητα.

ἢ κατεγχυμένα. ἀλλ' ἡ γεῦσις διακρινεῖ. τῶν ἐ-
δωδῶν τὸ διάφορον:

## περὶ ἀκοῆς:

Ἡ δὲ ἀκοὴ τῶν φωνῶν ἢ τῶν ψόφων ἐστὶν αἰσθητική. διαγινώσκει δὲ αὐτῶν τὴν ὀξύτητα ἢ τὴν βαρύτητα. λειότητά τε καὶ τραχύτητα. καὶ μέγεθος. ὄργανα δὲ αὐτῆς τὰ νεῦρα τὰ ἐξ ἐγκεφάλου τὰ μαλακά. καὶ τῶν ὤτων ἡ κατασκευή. μάλιστα δὲ αὐτῶν τὸ χονδρῶδες μέρος. πρὸς γὰρ ψόφους ἤχους τε ἐπιτήδειός ἐστιν ὁ χόνδρος. μόνος δὲ ἄνθρωπος καὶ πίθηκος οὐ κινοῦσι τὰ ὦτα. τῶν δ' ἄλλων πάντων ζώων τῶν ἐχόντων τὰ ὦτα κινούντων αὐτά:

## περὶ ὀσφρήσεως:

Ἡ δὲ ὄσφρησις γίνεται μὲν διὰ τῶν ῥινῶν. περαίνεται δὲ εἰς τὰ πέρατα τῶν προσθίων τοῦ ἐγκεφάλου κοιλιῶν. αὗται γὰρ ἀτμωδέσταται τὴν φύσιν

ἔστι. τῶν ἀτμῶν ἀκριβῶς ἀντιλαμβάνονται·
λέλυνται γὰρ ἡ πρόσθια κοιλία τῶν αἰσθη-
τηρίων· καθὸ μαλθακώτερα τινὰ ἢ οἱ καθόλου τῶν
ἰδίων αἰσθητῶν ἀντιλαμβάνεται· ὅμως ὥσ-
περ τὶς ἄλλη αἰσθήσεως νεῦρον αἰσθητικὸν
καλεῖ περιφερόμενον ὁ ἐγκέφαλος, δηλονότι ἡ ὄσφρη-
τῶν νεύρων σις· ἀλλὰ τὶς προέχει ἑαυτῆς τῶν κύρων ἀνα-
πληροῖ τὴν χρείαν. ἐκ τῶν ἀτμῶν ἀναδό-
σιν δέχεται· τῶν δὲ ἀτμῶν ἡ γενικωτάτη διαφορά·
εὐωδία καὶ ἡ δυσωδία· καὶ τὸ μέσον τούτων·
ὃ μήτε εὐῶδές ἐστι μήτε δυσῶδες· γίνεται δὲ
εὐωδίες τῶν ὑγρῶν τῶν ἐν τοῖς σώμασιν ἀκρι-
βῶς πεφθέντων· μέσως δὲ· ἡ μέση διάθεσις·
καταδεέστερον δὲ ἢ μηδ᾿ ὅλως, δυσωδία:— οζ

## περὶ τοῦ διανοητικοῦ.

Τοῦ μὲν οὖν φανταστικοῦ· ἥ τε δυνάμεις καὶ τὰ ὄργα-
να καὶ τὰ μόρια· καὶ τῶν μορίων ἡ κοινωνία τε-

καὶ διαφοράν, τὴν ἐνδεχομένην τε ὑπονόως ἐν
βραχέσιν ἱκανῶς ἀφεῖται· τοῦ δὲ διανοητικοῦ
εἰσὶ γενικῶς μέν· αἵ τε κρίσεις καὶ αἱ συγκατα-
θέσεις· καὶ ἀποφυγαί· καὶ ὁρμαί· ἰδικῶς δὲ αἱ δι-
ανοήσεις τῶν ὄντων· καὶ αἱ ἀρεταί· καὶ ἐπιστῆμαι·
καὶ τῶν τεχνῶν οἱ λόγοι· καὶ τὸ βουλευτικόν· καὶ προ-
αιρετικόν· τοῦτο δέ ἐστι· τὸ καὶ διὰ τῶν ὀνείρων
θεσπίζον ἡμῖν τὸ μέλλον· ἣν δὴ μόνην ἀλη-
θῆ μαντείαν οἱ πυθαγόρειοι λέγουσιν εἶναι· πυθαγόρειοι
τοῖς ἑβραίοις ἀκολουθήσαντες· ὄργανον δὲ
καὶ τούτου, ἡ μέση κοιλία τοῦ ἐγκεφάλου· καὶ τὸ ψυ-
χικὸν πνεῦμα τὸ ἐν αὐτῇ:

## περὶ μνημονευτικοῦ

Τὸ δὲ μνημονευτικόν ἐστι· μνήμης καὶ ἀναμνήσεως
αἴτιόν τε καὶ ταμεῖον· ἔστι δὲ μνήμη, ὡς μὲν
ὁ ὠριγένης φησί· φαντασία ἐγκαταλελειμμένη ἀ-
πό τινος αἰσθήσεως τῆς κατ' ἐνέργειαν φαινο-
μένης· ὡς δὲ πλάτων· σωτηρία αἰσθήσεώς τε

ἢ νοήσεως· ἡ γὰρ ψυχὴ, τῶν μὲν αἰσθητῶν διὰ
τῶν αἰσθητηρίων ἀντιλαμβάνεται· ἢ γίνεται δόξα·
τῶν δὲ νοητῶν· διὰ τοῦ νοῦ. καὶ γίνεται νόησις·
ὅταν οὖν τούτους τοὺς τύπους συντετηρήκασι. τὸν
τε καὶ νόησιν διασώζῃ, μνημονεύειν λέγεται.
ἔοικε δὲ νόησιν λέγειν ὅπερ ἀλλαχοῦ ἐν τούτοις,
οὐ τὴν κυρίως νόησιν· ἀλλὰ τὴν διανόησιν.
τὰ μὲν γὰρ αἰσθητά· μνημονεύεται καθ' ἑαυ-
τά. τὰ δὲ νοητὰ, κατὰ συμβεβηκός· ἐπειδὴ
ἡ τῶν διανοητῶν ἡ μνήμη, ἀπολαβούσης
φαντασίας γίνεται. τὰ δὲ κυρίως νοητά.
ὅτι μὲν ἐμάθομεν ἢ ἠκούσαμεν. μεμνήμεθα·
τῆς δὲ οὐσίας αὐτῶν μνήμην οὐκ ἔχομεν. οὐ γὰρ
ἀπὸ ἐγγεγραμμένης φαντασίας ἡ τῶν νοητῶν
ἀνάληψις· ἀλλ' ἐκ μαθήσεως. ἢ φυσικῆς ἐννοί-
ας· ᾧ δὲ μνημονεύειν λεγόμεθα· ἀπείληπται ἃ δ' ἦμεν
ἢ ἠκούσαμεν ἢ ἄλλως πως ἔγνωμεν. τὸ δὲ ἐπεὶ
ἕτερον τὴν ἀναφ. ἐὰν ἔχῃ πρὸς τὸν παρελθόντα

χρόνον, δῆλον ὡς μνημονεύεται ἀεὶ τὰ γινό-
μενα καὶ φθειρόμενα. τὰ ἐν τῷ χρόνῳ ζωῆς ἀ-
μενα. καὶ ἔστι μὲν τῶν ἀπόντων ἡ μνήμη. τῶν γε' 
μὲν ὑπόντων ἀπόντων γίνεται. ἀνάμνησις ἀπόντων
δὲ λέγεται· ὅταν λήθη μεσολαβήσῃ τὴν μνήμην·
ἔστι γὰρ ἀνάμνησις· μνήμης ἐξιτήλου γενο-
μένης ἀνάκτησις. γίνεται δὲ ἐξίτηλος ὑπὸ τῆς
λήθης. λήθη δέ ἐστι μνήμης ἀποβολή. ἀλλ' ἡ
μὲν διηνεκής. ἡ δέ, ἐπὶ ποσόν. ἔστι καὶ ἀ-
νάμνησις ἑτέρα· ἡ δ' ἐστὶν ἀνάμνησις ἥτις οὐκ ἐ-
στὶ λήθη τῶν ἐξ αἰσθήσεως ἢ νοήσεως· ἀλλὰ
τῶν φυσικῶν ἐννοιῶν. φυσικὰς δὲ λέγομεν
ἐννοίας τὰς ἀδιδάκτως πᾶσιν ὑπαρχούσας·
ὡς τὸ εἶναι θεόν. ταύτην δὲ ὁ Πλάτων ἀνάμνησιν
φησὶν εἶναι τῶν ἰδεῶν. τί δὲ ἐστὶν ἡ ἰδέα. ἐν τοῖς
ἑξῆς ἐροῦμεν. τὸ μὲν οὖν φανταστικὸν παραδί-
δωσι τῷ διανοητικῷ τὰ φαινόμενα. τὸ δὲ διανο-

ητικοῦ ἢ διαλογιστικοῦ παραλαβὸν ἐκεῖνο·
παραπέμπει τῷ μνημονευτικῷ. ὄργανον
δὲ καὶ τούτου· ἡ ὄπισθεν κοιλία τοῦ ἐγκεφά-
λου, ἣν καὶ παρεγκεφαλίδα καλοῦσι· καὶ τὸ ἐν αὐ-
τῇ ψυχικὸν πνεῦμα. ἐπειδὴ δὲ τῶν μὲν αἰ-
σθητηρίων ἀρχὰς καὶ ῥίζας τὰς ἔμπροσθεν ἔφαμεν εἶναι
κοιλίας τοῦ ἐγκεφάλου· τοῦ δὲ διανο-
ητικοῦ τὴν μέσην, τοῦ δὲ μνημονευτικοῦ
τὴν ὄπισθεν, ἀναγκαῖόν ἐστιν ἀποδεῖξαι ὅτι
ταῦτα τοῦτον ἔχει τὸν τρόπον· ἵνα μὴ δοκῶμεν
ἀλόγως πιστεύειν τοῖς λεγομένοις. ἱκανωτάτη
δὲ ἀπόδειξις, ἡ ἐξ αὐτῆς τῆς τῶν μορίων
ἐνεργείας λαμβανομένη. τῶν μὲν γὰρ προσθί-
ων κοιλιῶν καθ' ὁντιναοῦν τρόπον βλαβει-
σῶν· αἱ μὲν αἰσθήσεις παραποδίζονται, τὸ δὲ δι-
ανοητικὸν ἔτι μένει σωζόμενον· τῆς δὲ μέσης
κοιλίας μόνης παθούσης, ἡ μὲν διάνοια παραλ

τὸ δὲ αἰσθητήριον μέλλει φυλάττειν τὴν τελείαν καταφύ-
σιν αἴσθησιν. ἐὰν δὲ καὶ αἱ πρόσθιοι καὶ ἡ μέ-
ση κοιλία παθῶσιν. ὁ λογισμὸς ἀμαυροῦται αἱ
σθήσεσι παρακόπτεται. τῆς δὲ παρεγκεφα-
λίδος παθούσης. ἡ μνήμη μόνη παραπό-
λλυται. τῆς αἰσθήσεως καὶ τῆς διανοίας ὡς οὐδὲν
βλαπτομένων. δῆλον δὲ ὅσον οὐκ ἔστιν ἡμῖν ὁ
λόγος νῦν, περὶ τῆς καθ' ὁρμὴν κινήσεως.
ἐὰν δὲ σὺν ταῖς προσθίοις καὶ ἡ μέση καὶ ὀ-
πίσθεν παθῇ, καὶ τὴν αἴσθησιν καὶ τὸν λογι-
σμόν. καὶ τὴν μνήμην ὁμοῦ παραφθείρονται.
πρὸς τούτῳ καὶ τὸ πᾶν κινδυνεύει ἀπολέσθαι
ζῶον. γίνεται δὲ τοῦτο δῆλον. καὶ ἄλλων μὲν
πολλῶν παθῶν τε καὶ συμπτωμάτων. μάλιστα
δὲ ἐπὶ τῆς φρενίτιδος. τῶν γὰρ φρενιτιζόντων,
οἱ μὲν. τὰς αἰσθήσεις διασώζουσι. τῆς διανοί
μόνης βλαβείσης. τοῦτο ἀναγράφει γαληνός

φρενιτίζοντα· ὃς ἐξ ἰουργοῦ τινὸς ἐργαζομέ-
νου παρόντος· διανάστασιν ἢ λαβὼν ὅπλα σκεύη
ἐπὶ τὰς θύρας ὁρμήσας· πρῶτα τῶν πα-
ρόντων ἅπαντα τῶν σκευῶν ἐξονόματος καὶ
ἀπέλυσεν αὐτὸ εἰς φῶτα, καί· τῶν δὲ παρεστώ-
των βουλευσαμένων φυλάττων· πρῶτον ἠκόντισε τῶν
σκευῶν ἅπαντα· εἶτα ἤρετο τοὺς παρόντας·
εἰ τὸν ἐξιουργὸν βούλοιντο ῥίψαι· τῶν δὲ
παιδαγωγούντων εἶναι τὸ πρᾶγμα· ἤδη δὲ
τοῦτο θέλει φυλάττων· λαβὼν, ὡς ὁπόσα ἄνωθ(εν)
καὶ τὸν ἐξιουργόν· ἔτεσι τρισὶ μετ᾽ αἰσθήσεως
ὑγιαίνοντα· ἢ διαγράφοντι σκεύη πάντα· καὶ ἐξιουρ-
γὸς ἔτει· ἐνόσησε τὴν διάνοιαν· ἀλλὰ μάλιστα
δηλοῦσι κινοῦσι φαντασίαν· ὁρᾶν οἰόμενοι τὰ
μὴ ὁρώμενα· τὰ πράγματα· φρονοῦσι καὶ τὸν λόγον
ἔτι, τὰς προσθίους μόνας κοιλίας ἐβλάβησαν.
τῆς μέσης ἀπαθοῦς μενούσης· ἐπὶ τῶν παθῶν

τῶν παρακολουθούντων ἢ κατὰ συμπάθειαν, τῆς
ἐνεργείας αὐτῶν ἐμποδίζεται· ὥσπερ ἐνίων γὰρ
τὴν ἐνέργειαν τὸ πάθος μόριον· ὥστε καὶ τὸ πο- τὸ πεπονθός
θὸς παθόντες· ὥστε περιπατεῖν ἐμποδίζεσθαι·
ταύτην καὶ γὰρ ὁ πόνος ἐκ τῆς τῶν ἐνέργειαν :—

Περὶ τοῦ ἐνδιαθέτου καὶ προφορικοῦ λόγου :—

Ὕλη μὲν οὖν μία διαίρεσις τῆς ψυχικῆς δυνάμε(ως)·
ἰσῶν διαιρεθεῖσα μὲν ἢ τινὰ τοῦ σώματος. ἑτέρα
δὲ διαίρεσις καθ' ἕτερον τρόπον τοῦ λογικοῦ τῆς
ψυχῆς· ὅ τε καλούμενος ἐνδιάθετος λόγος καὶ ὁ
προφορικός. ἔστι δὲ ἐνδιάθετος μὲν λόγος, τὸ
κίνημα τῆς ψυχῆς τὸ ἐν διαλογιστικῷ γινόμενον
ἄνευ τινὸς ἐκφωνήσεως· ὅθεν πολλάκις καὶ σι-
ωπῶντες λόγον ὅλον παρ' ἑαυτοῖς διεξερχόμεθα·
καὶ ἐν τοῖς ὀνείροις διαλεγόμεθα. κατὰ τοῦτο δὲ μά-
λιστα δὲ μάλιστα λογικοὶ πάντες ἐσμέν· οὐ γὰρ οἱ ἐκ
γενετῆς κωφοὶ καὶ οἱ διὰ πάθος ἢ νόσημα τὴν φωνὴν

ἀποβάλλοντες· δηλοῖ ἡ τῶν λαρυγγιώντων· ὁ δὲ προ-
φορικὸς λόγος· ἐν τῇ φωνῇ καὶ ταῖς διαλέκτοις τὴν
ἐνέργειαν ἔχει. ὄργανα δὲ τῆς φωνῆς πολλά· οἵ-
τε γὰρ ἐν τοῖς μεσοπλευρίοις ἔσωθεν μύες· καὶ ὁ
θώραξ· καὶ ὁ πνεύμων· ἥ τε τραχεῖα ἀρτηρία·
καὶ ὁ λάρυγξ· καὶ τούτων μάλιστα τὸ χονδρῶδες· καὶ τὰ
πάλιν διερμηνεύοντα νεῦρα· καὶ ἡ γλωττίς· καὶ πάντες
οἱ κινοῦντες ταῦτα τὰ μόρια μύες· τῆς ἐκφωνή-
σεώς εἰσιν ὄργανα· τῆς δὲ διαλέκτου· τὸ στόμα· ἐν
τούτῳ γὰρ διαπλάττεται καὶ σχηματίζεται καὶ οἷον
μορφοῦται ἡ διάλεκτος· τῆς μὲν γλώσσης καὶ τοῦ
γαργαρεῶνος· πλήκτρου λόγον ἐπεχόντων· τῆς
δὲ ὑπερῴας· ἤχου· τῶν δὲ ὀδόντων καὶ τῆς ποιᾶς
τοῦ στόματος διανοίξεως· ὡς ἐν [illegible] τῶν χορδῶν
ἀναπληρούντων χρείαν· συντελοῦσι δὲ καὶ τῆς ῥι-
νὸς πρὸς εὐφωνίαν ἢ τὴν κακοφωνίαν· ὡς δῆλον

ἐκ τῶν αὐτῶν· διαιροῦσι δὲ καὶ ἄλλως· ἀπὸ δυ-
νάμεως· ἢ ἀπὸ ὕλης· τὴν ψυχήν· ἀπὸ τε τὸ φυ-
τικόν· ὃ καὶ θρεπτικὸν καὶ παθητικὸν καλεῖται·
καὶ ἀπὸ τὸ αἰσθητικόν· καὶ ἀπὸ τὸ λογικόν· τούτων δὲ
ὀργάνων ἐκπορευομένων· τὸ μέν, ἄρχεται· τὸ δέ,
ἐν τοῖς ἑξῆς ἐκτεθήσεται. ζήνων δὲ ὁ στωϊκὸς· ὀκ-
τὰ μέρη· φησὶν εἶναι τῆς ψυχῆς· διαιρῶν αὐτὴν
ἀπὸ τε τὸ ἡγεμονικόν· καὶ ἀπὸ τὰς πέντε αἰσθήσεις·
καὶ ἀπὸ τὸ φωνητικόν· καὶ τὸ σπερματικόν· παναί-
τιος δὲ ὁ φιλόσοφος· τὸ μὲν φωνητικόν, τῆς κα-
θ' ὁρμὴν κινήσεως μέρος εἶναι βούλεται· λέγων
ὀρθότατα· τὸ δὲ σπερματικόν· οὐ τῆς ψυχῆς μέρος·
ἀλλὰ τῆς φύσεως. ἀριστοτέλης δέ, ἐν μὲν τοῖς φυσι-
κοῖς πέντε λέγει εἶναι τὰ μέρη τῆς ψυχῆς. τό τε φυ-
τικόν· καὶ τὸ αἰσθητικόν· καὶ τὸ διανοητικόν· φυ-
τικὸν λέγων τὸ τε θρεπτικὸν καὶ αὖξον καὶ γονοποιοῦν
καὶ διαπλάττον τὰ σώματα· καλεῖ δὲ τὸ φυτικὸν

ἢ θρεπτικόν· τὸ πᾶν ἀπὸ τοῦ κρατίστου μέρους
καλεῖται· τοῦ τρέφοντος, ἢ ἀφ' οὗ ἡ τὰ ἄλλα
μέρη τοῦ φυτικοῦ τὴν ὕπαρξιν ἔχει· ὅλως
μὲν ἐν τοῖς φυσικοῖς· ἀρκτέον τὸ πρῶτον καὶ γενι-
κῶς τὰ διαιρετὰ τῆς ψυχῆς· εἴς τε τὸ λογικὸν καὶ
τὸ ἄλογον· ὑποδιαιρεῖται δὲ τὸ ἄλογον· εἴς τε τὸ εὐ-
πειθὲς λόγῳ· καὶ εἰς τὸ μὴ κατήκοον λόγῳ· περὶ
μὲν οὖν τοῦ λογικοῦ· ἐν τοῖς προλαβοῦσιν εἴ-
ρηται· περὶ δὲ τοῦ ἀλόγου· νῦν διαληψόμεθα:~

+ περὶ τοῦ ἀλόγου τῆς ψυχῆς μέρους ἢ εἴδους· ὃ
καὶ παθητικὸν ἢ θρεπτικὸν καλεῖται·

Τινὲς καθ' αὑτὴν εἶναι λέγουσι τὴν ἀναλογίαν·
ὡς ἄλογον ψυχήν· οὐχὶ δὲ καὶ μέρος τῆς λογικῆς.
πρῶτον μὲν οὖν ὅτι ἡ καθ' αὑτὴν ἐν τοῖς ἀλόγοις
ζώοις θεωρεῖται. ἐξ οὗ δῆλον ὅτι τελεία τίς ἐστι
καὶ οὐ μέρος ἄλλης. ἔπειτα ὅτι τῶν ἀδυνάτων ἐστὶ·
τῆς λογικῆς μέρος εἶναι τὸ ἄλογον. ἀεὶ γὰρ τὰ δὲ:

καὶ μίξεως ἂν ἀλλὰ καὶ διῳκισμένον. καὶ διαιρεῖται
ὡς δύο ὡς εἰρημένον. καλεῖται δὲ τοῦτο κοινῶς
τὸ ὀρεκτικόν, τοῦτο δέ ἐστι καὶ ἡ καθ' ὁρμὴν
κινήσεις. ἡ γὰρ ὄρεξις κινήσεώς ἐστιν ἀρχή.
ὀρεχθέντα γὰρ τὰ ζῷα, ἐπὶ τὴν καθ' ὁρμὴν ἀ-
ποκίνησιν. τοῦ δὲ ἀλόγου τὸ μέν, ὃ ἀπειθὲς
λέγω. τὸ δέ, ἐπιπειθές ἐστι λόγῳ. πάλιν δὲ
τὸ ἀπειθὲς λόγῳ διαιρεῖται ὡς δύο. ὡς τὸ
ἐπιθυμητικὸν καὶ τὸ θυμικόν. ἐστὶ δὲ ὄργανα τοῦ
μὲν ἐπιθυμητικοῦ τοῦ δι' αἰσθήσεως τὸ ἧπαρ.
τοῦ δὲ θυμικοῦ, ἡ καρδία. σημεῖον μορίῳ
κινήσεως ἔρνον ἐπιδεχόμενον ὡς σημ-
εῖον ὑπηρεσίαν καὶ συμμιγνύον ὁρμὴν τεταγμέ-
νον. ὥσπερ τὸ ἧπαρ ἁπαλὸν σπλάγχνον τῆς
ἁπαλῆς ἐπιθυμίας γέγονεν ὄργανον. καλεῖται
δὲ τοῦτο ἐπιπειθὲς λόγῳ. ὅτι πέφυκε πείθεσθαι
λόγῳ. καὶ ὑποτάττεσθαι καὶ κινεῖσθαι αὐτῷ.

ὁ λόγος κεκλήρωται· ἢ τοῖς τῶν κατὰ φύσιν ἐχόντων
περὶ ζωώδους οὐσ. ἀνθρώπων. ἔστι δὲ καὶ τοῦτο τὰ πάθη συστατι-
κὰ τῆς ζωώδους οὐσίας· ἄνευ γὰρ τούτων, οὐκ
ἔστι σύστασις τῶν ζώων. ἐπειδὴ τὸ πάθος ὁμω-
νύμως λέγεται, διασταλτέον περὶ τῆς ὁ-
μωνυμίαν. λέγεται δὲ γὰρ πάθος καὶ τὸ σωμα-
τικόν, ὡς τὰ νοσήματα καὶ τραύματα· λέγεται πά-
θος καὶ τὸ ψυχικόν περὶ οὗ νῦν ἐστιν ὁ λόγος· ἥτε
ἐπιθυμία καὶ ὁ θυμός. ἔστι δὲ κοινῶς μὲν καὶ γενι-
κῶς ζώου πάθος, ᾧ ἕπεται ἡδονὴ ἢ λύπη. ἕ-
πεται γὰρ τῷ πάθει λύπη, καὶ οὐκ αὐτὸ τὸ πά-
θος ἐστὶ λύπη· ἃ γὰρ τούτων· πάσχουσι οὐκ
ἀλγεῖ· νῦν δὲ τὰ ἀναίσθητα πάσχομεν, οὐκ ἀλ-
γοῦμεν, οὐκ ἄρα τὸ πάθος ἐστὶ τὸ ἄλγημα· ἀλλ' ἡ
τοῦ πάθους αἴσθησις. δεῖ δὲ τοῦτο καὶ ἀξιόλογον
εἶναι, ἵνα τῆς αἰσθήσεως ὑποπέσῃ. τῶν δὲ ψυ-
χικῶν παθῶν ὁ ὅρος οὗτος· πάθος ἐστὶ κίνησις

τῆς ὀρεκτικῆς δυνάμεως αἰσθητὴ ἐπὶ
φαντασίᾳ ἀγαθοῦ ἢ κακοῦ· ἢ ἄλλως· πάθος
ἐστὶ κίνησις ἄλογος τῆς ψυχῆς δι' ὑπόληψιν
καλοῦ ἢ κακοῦ. τὸ γενικὸν δὲ πάθος,
ἄλλως ὁρίζεται· πάθος ἐστὶ κίνησις ἐν ἑτέ-
ρῳ ἐξ ἑτέρου. ἐνέργεια δέ ἐστι κίνησις δρα-
στική· δραστικὸν δὲ λέγεται· τὸ ἐξ ἑαυτοῦ κινού-
μενον. οὕτως οὖν καὶ ὁ θυμὸς· ἐνέργεια μέν
ἐστι τοῦ θυμοειδοῦς· πάθος δὲ, τῶν δύο μερῶν
τῆς ψυχῆς· καὶ προσέτι τοῦ σώματος ἡμῶν
παντός· ὅταν ὑπὸ τοῦ θυμοῦ βιαίως ἄγηται πρὸς
τὰς πράξεις· ἐξ ἑτέρου γὰρ ἐν ἑτέρῳ γέγονεν
ἡ κίνησις, ὅπερ ἐλέγομεν εἶναι πάθος· ἢ
καθ' ἕτερον δὲ τρόπον ἡ ἐνέργεια· πάθος
λέγεται· ὅταν ᾖ παρὰ φύσιν. ἐνέργεια μὲν γάρ
ἐστι κατὰ φύσιν κίνησις· πάθος δὲ, παρὰ φύ-
σιν. ἢ κατὰ τοῦτον οὖν τὸν λόγον ἡ ἐνέργεια,

ὅταν μὴ κατὰ φύσιν κινῆται, λέγεται πάθος.
ἤτοι ἐξ αὐτοῦ κινοῦντος· ἤτοι ἐξ ἑτέρου· τῆς
γοῦν καρδίας· ἡ μὲν κατὰ τοὺς σφυγμοὺς κί-
νησις· ἐνέργειά ἐστιν· ἡ δὲ κατὰ τοὺς παλ-
μοὺς, πάθος, ἐξ αὐτῆς μὲν γάρ ἐστι καὶ ἡ κατὰ
τοὺς παλμοὺς κίνησις· ἀλλ᾽ οὐ κατὰ φύσιν,
ἐξ αὐτῆς δὲ καὶ ἡ τῶν σφυγμῶν, ἀλλὰ κατὰ φύ-
σιν, ὅθεν οὐ θαυμαστὸν, εἰ καὶ ταὐτὸν πρᾶγ-
μα καὶ πάθος, καὶ ἐνέργειαν ὀνομάζεσθαι·
καθὸ μὲν γὰρ κίνησίς φασιν ἐξ αὐτῶν τοῦ παθη-
τικοῦ τῆς ψυχῆς, ἐνέργειαί τινές φασι· καθόσον
δὲ ἁμαρτάνει καὶ οὐ κατὰ φύσιν, οὐκ ἐνέργειαι·
ἀλλὰ πάθη· ὥσπερ οὖν ἡ κίνησις τοῦ ἀέρος.
πάθος ἐστὶ κατὰ ἀμφότερα σημαινόμενα· ὁ
πᾶσα δὲ κίνησις τοῦ παθητικοῦ, πάθος καλεῖ-
ται· ἀλλ᾽ αἱ σφοδρότεραι καὶ ἐξ αἰσθητῶν προ-
βαίνουσι· αἱ γὰρ μικραὶ καὶ ἀνεπαίσθητοι.

οὔπω πάθη· δεῖ γὰρ ἔχειν τὸ πάθος, ἢ μέγεθος ἀξιόλογον· διὸ πρόσκειται τῷ ὅρῳ τοῦ πάθους, τὸ κίνησις αἰσθητή· αἱ γὰρ μικραὶ κινήσεις λανθάνουσι τὴν αἴσθησιν· οὐ ποιοῦσι πάθος ὡς ἔφαμεν.

## περὶ τοῦ ἐπιθυμητικοῦ.

Διαιρεῖται μὲν οὖν ὡς ἔφαμεν τὸ ἄλογον τῆς ψυχῆς τό τε ἀπειθὲς λόγῳ· ὅ ἐστι· τό τε ἐπιθυμητικοῦ· ἢ τὸ θυμικόν· πάλιν δὲ τὸ ἐπιθυμητικοῦ, ἢ τὸ διαιρεῖται, ὅ ἐστι· ὡς ἡδονὰς καὶ λύπας ἐποίει τυγχάνουσα μὲν γὰρ ἡ ἐπιθυμία ἡδονὴν ἐμποιεῖ· ἀποτυγχάνουσα δὲ λύπην. πάλιν δὲ καθ᾽ ἕτερον τρόπον ἡ ἐπιθυμία διαιρεῖται, τετραχῶς καὶ αὐτὴ τὰ πάντα πάθη ποιεῖ· ἐπὶ γὰρ τῶν ὄντων τὰ μέν ἐστιν ἀγαθά, τὰ δὲ φαῦλα. καὶ τὰ μέν, ἤδη πάρεστι· τὰ δέ, προσδοκᾶται, κατὰ τούτους τοὺς τέσσαρας τῶν

διὸ ἀρετῶν πολλαπλασιαζομένων, τὰ τῆς ἐ-
πιθυμίας εἰς τέσσαρα διαιρεῖται· ἔστι γὰρ
ἀγαθοῦ καὶ κακοῦ· καὶ πάλιν παρὸν καὶ προσδο-
κώμενον· προσδοκώμενον μὲν ἀγαθὸν
ἐπιθυμία ἐστίν· ἡ δὲ παρόν· ἡδονή· πά-
λιν προσδοκώμενον κακοῦ· φόβος· παρὸν
δὲ λύπης· περὶ τὰ ἀγαθὰ μὲν γάρ, στρέφεται
ἡδονὴ καὶ ἐπιθυμία· περὶ τὰ φαῦλα δὲ φόβος
καὶ λύπη· διὸ τινὲς τὸ πάθος τέσσαρα διαιροῦ-
σιν· ἐπιθυμίαν· ἡδονήν· φόβον· καὶ λύπην.
ἀγαθὰ δὲ καὶ φαῦλα λέγομεν· ἢ τὰ ὄντως ὄντα· ἢ
τὰ νομιζόμενα. ἐγγίνεται δὲ τὰ φαῦλα πάθη
τῇ ψυχῇ, διὰ τεττάρων τούτων· διὰ κακῆς ἀγω-
γῆς· ἐξ ἀμαθίας· ὑπὸ καχεξίας· μὴ ἀχθέντες
γὰρ καλῶς ἐκ παίδων ὡς δύνασθαι κρατεῖν κα-
τὰ τῶν ἀγαθῶν, διὰ τὴν ἀμέλειαν αὐτῶν ἐκ-
πίπτομεν· ἐκ δὲ τῆς ἀμαθίας, φαῦλαι κρίσεις

τῶν γὰρ τῆς ψυχῆς ἐμφαινόντων. ὥσπερ οὐκ
ἐᾶται τὰ φαῦλα χρηστὰ εἶναι, καὶ τὰ χρηστὰ φαῦ-
λα. γίνεται δέ τινα καὶ ἐκ τῆς τοῦ σώματος κα-
χεξίας. ὀργίλοι γάρ εἰσιν οἱ πικρόχολοι·
ἢ καταφερεῖς· οἱ θερμοὶ καὶ ὑγροὶ τὴν κρᾶσιν·
θρασύτεροι δὲ τὸ ἦθος· καὶ τὸ ἦθος. ἔθη κακῶν
τὴν δὲ ἀμαθίαν, μάθησις καὶ ἐπιστήμη. τὴν δὲ
καχεξίαν ἰατρεῖον· σωματικῶς θεραπεύοντες
αὐτὴν ὥσπερ οἱ τὰς τῶν κράσεις· καὶ γυμνα-
σίοις καὶ φαρμάκοις, ἐὰν καὶ τούτων δέηται θεραπείας. τρ. κακῶν

## περὶ τῶν ἡδονῶν.

Τῶν ἡδονῶν αἱ μέν εἰσι ψυχικαί. αἱ δὲ, σωματι-
καί. ψυχικαὶ μὲν αἱ τῆς ψυχῆς αὐτῆς καθ' ἑαυ-
τήν. ὡς αἱ περὶ τὰ μαθήματα καὶ τὴν θεω-
ρίαν. αὗται γὰρ καὶ διατελοῦσι. μόνης εἰσὶ τῆς ψυ-
χῆς σωματικαὶ δὲ ὅσαι. μετὰ κοινωνίας
τοῦ σώματος καὶ τῆς ψυχῆς γινόμεναι. καὶ διὰ τοῦτο

σωματικαὶ καὶ κινούμεναι. ὥσπερ αἱ περὶ τὰς τέρψεις
καὶ τὰς συνουσίας. μόνου δὲ τοῦ σώματος οὐκ εἰσί
τινες ἰδίας ἡδονάς ἀλλὰ πάθη οἷον τμήσεις.
κνήσεις. καὶ τὰς κατὰ κένωσιν ποιότητας. πάλιν
γὰρ ἡδονὴ μετ᾽ αἰσθήσεως. ψυχικὴν δὲ τὴν αἰσθη-
σιν ἐδείξαμεν. καὶ δῆλον ὡς τῶν πολλαχῶς λεγο-
μένων ἐστὶν ἡ ἡδονή. ὑφ᾽ ἓν γὰρ ἢ ἕτερον
γένος ἐστίν. ὡς αἱ σπουδαῖαι ἡδοναὶ καὶ αἱ φαῦλαι.
καὶ αἱ μὲν ψευδεῖς. αἱ δὲ, ἀληθεῖς. καὶ αἱ μὲν,
τῆς διανοίας μόνης καὶ ἐπιστημῶν. αἱ δὲ, με-
τὰ σώματος καὶ αἰσθήσεων. καὶ αὐτῶν δὲ τῶν καὶ αἰ-
σθήσεων. αἱ μέν εἰσι φυσικαί. αἱ δὲ, οὔ. καὶ τῇ
μὲν ἡδονῇ τῇ ἐνδείας πεῖναν. ἀντίκειται ἡ ἐνδεία
δι᾽ ἣν λύπη. τῇ δὲ κατὰ θεωρίαν οὐδέν. ταῦτα
οὖν πάντα διακρίνουσι τὴν ἡδονὴν ὁμώνυμον. τῶν
δὲ σωματικῶν καὶ κινουμένων ἡδονῶν, αἱ μέν εἰσιν
ἀναγκαῖαι ἅμα καὶ φυσικαί. ὧν χωρὶς ζῆν

ἀλόγων. ὡς αἵ τε φησὶν αὐτῆς ἐνδείας,
ἀναπληρωτικαί. ἤτοι ἐνδεύματα, ἀναγκαῖαι.
αἱ δὲ φυσικαὶ μέν· οὐκ ἀναγκαῖαι δέ. ὡς αἱ
κατὰ φύσιν ἢ κατὰ νόμον μίξεις. αὗται γὰρ
φησὶ μὲν τὴν διαμονὴν τοῦ παντὸς γένους σώ-
ζουσι· δυνατὸν δὲ καὶ χωρὶς αὐτῶν ἐν
παρθενίᾳ ζῆν. αἱ δὲ οὔτε ἀναγκαῖαι οὔτε
φυσικαί. ὡς ἡ μέθη καὶ ἡ λαγνεία. ἡ πλησμο-
νὴ τὴν χρείαν ὑπερβαίνουσα. οὔτε γὰρ εἰς
διαμονὴν τοῦ γένους ἡμῖν συμβάλλονται ὡς
ἡ κατὰ νόμον συνουσία. οὔτε εἰς σύστασιν
τῆς ζωῆς. ἀλλὰ καὶ προσβλάπτουσι. τὸν γοῦν
κατὰ θεὸν ζῶντα. μόνας μεταδιώκειν δεῖ
τὰς ἀναγκαίας ἅμα καὶ φυσικὰς ἡδονάς. τὸν
δὲ μετ᾽ ἐκεῖνον ἐν δευτέρᾳ τάξει τῶν ἀρετῶν τε-
ταγμένον, ταύτας τε καὶ τὰς φυσικὰς μέν· οὐκ
ἀναγκαίας δέ. μέτριον μετὰ τοῦ προσήκον-

τοῦ κατ' αὐτὸν ἢ μετρίου. πάντη σεαυτοῦ. καὶ τὸ που-
τὰς δὲ ἄλλας, φαυλοτέρας παντελῶς. ἁπλῶς
δὲ ἡγητέον τοιαύτας εἶναι καλὰς ἡδονάς. τὰς
μὴ σύμπασι πολεμούσας λύπας, μήτε μετα-
μέλειαν ἐμποιούσας. μήτε βλάβης ἐπιτελέσεως
γεννητικάς, μήτε τοῦ μετρίου παρεκχωρού-
σας. μήτε τῶν σπουδαίων ἡμᾶς ἔργων ἀφελ-
κούσας ἐπὶ πολὺ ἢ καταδουλούσας. κυρίως δὲ
φασὶν ἡδονάς. αἳ τὴν κατανόησιν τοῦ θεοῦ καὶ ταῖς ἐ-
πιστήμαις καὶ ταῖς ἀρεταῖς ἐπιγινόμεναι ὡς
ἣ σύμπαν πολεμεῖ. αἳ ὥσπερ ἐν τοῖς καθ' ὑπερέχον
λόγον πεποίηται δῆλός ἐστι θέλων. ἐπεὶ τὸ εἶναι
ἁπλῶς. ἐπειδὴ τὴν διαμονὴν τοῦ γένους. ἀλ-
λὰ τὸ εὖ εἶναι. καὶ σπουδαίους καὶ θεοφιλεῖς
εἶναι ζητοῦντας. καὶ ὡς αὐτὴν τοῦ ἀνθρώπου
τὴν κατὰ ψυχὴν καὶ τὸν νοῦν τελειότητα. αἱ
περὶ τὸ θεωρεῖν ἀγαθῶν παθῶν φασὶν ὡς αὐτῆς

ἔνδειας ἀναπληρωτικαί. αἱ δὲ ὅλως λύπην
ἔχουσι προηγουμένην. ἢ ἑπομένην. ἢ ἀν
τιταγμένην. ἀλλ' αἱ καθαραὶ καὶ ἀμιγεῖς λύπης
ὕλης συμπλοκῆς. ψυχικαὶ μόνον εἰσί.
καὶ γὰρ κατὰ πλάτωνα. τῶν ἡδονῶν αἱ μέν εἰσι
ψευδεῖς. αἱ δὲ ἀληθεῖς. ψευδεῖς μέν, ὅσαι με
τὰ αἰσθήσεως γίνονται. καὶ δόξης οὐκ ἀληθῶς.
καὶ λύπας ἔχουσι συμπεπλεγμένας. ἀληθεῖς δέ.
ὅσαι τῆς ψυχῆς εἰσὶ μόνης αὐτῆς καθ' ἑαυτήν.
μετ' ἐπιστήμης καὶ νοῦ καὶ φρονήσεως. καθα
ραὶ καὶ ἀνεπίμικτοι λύπης. αἷς οὐδεμία
μεταμέλεια παρακολουθεῖ ποτέ. καλοῦσι δὲ
τὰς παρακολουθούσας τῇ θεωρίᾳ καὶ ταῖς καλαῖς
πράξεσιν ἡδονάς. οὐ πάθη. ἀλλὰ παραφυάς.
τινὲς δὲ καὶ εἰς τὴν αὐτὴν ἡδονὴν παραλέ
γουσιν. ὁρίζονται δὲ τὴν ἡδονὴν. γένεσιν εἰς
φύσιν αἰσθητήν. ἔοικε δὲ οὗτος ὁ ὅρος. τῆς

σωματικῆς φαινομένης ἡδονῆς. αὕτη γὰρ ἀ-
ναπλήρωσίς τίς ἐστι, καὶ ἰατρεία τῆς σωματικῆς
ἐνδείας, καὶ τῆς περιγινομένης δι᾽ αὐτὴν ἐνδεί-
λύπης. πεινῶντες γὰρ ἢ διψῶντες. τὴν ἐπεί-
γους καὶ τῆς λύπης θεραπεύοντες χαίρομεν. ἐν τῷ
θάλπεσθαι καὶ ψύχειν. ἡδόμεθα, κατὰ συμβε-
βηκὸς. ὥσπερ φασὶν ἀγαθάς, καὶ οὐ καθ᾽ αὑτάς. οὐδὲ
φύσει. ὡς γὰρ τὸ ὑγιάζεσθαι κατὰ συμβεβηκὸς
ἐστὶν ἀγαθόν. τὸ δὲ ὑγιαίνειν φύσει καὶ καθ᾽ αὑτό.
οὕτω καὶ αὗται κατὰ συμβεβηκὸς φασὶν ἀγαθαί, ἰατρεῖ-
αι τινὲς οὖσαι. αἱ δὲ τῆς θεωρίας ἡδοναί, καθ᾽ αὑ-
τάς φασιν ἀγαθαί καὶ φύσει. ἐπεὶ γὰρ ἐκ τοῦ ἐνδεᾶ γίνονται,
δῆλον οὖν ἐντεῦθεν. ὡς οὐ πάντως ἡ ἡδονὴ τῆς ἐν-
δείας ἐστὶν ἀναπληρωτική. φασὶ τοῦτο. ἐκ τοῦ
ἧς ὅσοι ἔρως ἐκλέγων. λοιπὸν φασὶ φύσει αἰσθητικῶν
φαντικῶν ἡδονῶν. ὁ γὰρ πάντες μεταλαμβάνει τὰς
ἡδονάς. ἀλλὰ παρεκτὸς τὴν ἐκ τῆς θεωρίας·

ἡ γὰρ τοῦ νοσοῦντος δὲ τὴν ἡδονὴν ὁ εἰζόμενος παν-
τὸς τοῦ λυποῦντος ὑπεξαιρεῖν. τὸ αὐτό φησι
τοῖς λέγουσι γίνεσθαι τῆς φύσεως αἴσθησιν. τὴν γὰρ
ἀπαλλαγὴν τοῦ λυποῦντος ἡδονὴν εἶναι φησίν.
ἔπειτα δὲ οὐδὲ πᾶσαι γενέσεις. τοῖς οἰκείοις ἀπο-
λέσμασιν ὁμολογοῦσιν ἐστὶν ἢ οὐ γίνονται. ἔτι τὴν
γένεσιν τῆς ἡδονῆς ἡ ἡδονὴν ἡγοῦνται. ἀλλὰ παρὰ
τὴν ἡδονὴν ἄλλο τι· ἐν τῷ γίνεσθαι μὲν γὰρ ἡ γέ-
νεσίς ἐστιν. ἔτι δὲ τῶν γινομένων ἅμα γίνεται
ἢ γέγονεν. ἀλλὰ δῆλον ὅτι καθάπερ ... τὸ δὲ
ἡδόμενον. ἀθρόως ἡ αἴσθη. ἔτι χαίρειν γίνονται ἡ ἡ-
δονή. ἔτι παραγίνονται. ἔτι ὅσον ἐστίν. ἡ δὲ ἡ-
δονὴ τῶν ἡδέων. οὐκ ἔστιν ἀεὶ γίνονται ἡ ἡ-
δονή. ἔτι γίνονται μὲν τὰ ἄρια καὶ βέβαια λέγεται.
ἡ ἡδονὴ δὲ οὐκ ἔτι τῶν ἀγαθῶν. τὰ μὲν ἕξις ἐστί·
τὰ δὲ ἐνέργεια· τὰ δὲ ὄργανα. ἕξις μὲν ὡς
ἀρετή. ἐνέργεια δέ, ὡς ἡ κατὰ ταύτην πρᾶξις.

κἄπειτα πάλιν, ἡ ἕξις μὲν ἡ ὑφεκτική. ἐνέργεια δὲ
τὸ ὁρᾶν. ὄργανα δὲ, δι' ὧν ἐνεργοῦμεν. ὡς
ὀφθαλμὸς καὶ πολλοί τε, καὶ τὰ τοιαῦτα. πᾶσαι δὲ
αἱ ποιεῖν ἀγαθὰ ἢ φαῦλα, ψυχικαὶ δυνάμεις. ἐ-
ξετάσωμεν τίνος ἐστὶ δυνάμεως. φανερὸν ὅτι ἀγαθόν ἐστιν
ἡ ἡδονή. τὸ φαῦλον ἐν τούτοις ἐστὶ μόνοις. ἀλ-
λ' ἕξις μὲν οὐκ ἔστιν. ἔτι γὰρ ὡς ἄρτι· οὐ γὰρ δὴ
τὸ ὅλως μὲν τοῦ πρέπειν ἀξίαν ἐναντίαν καὶ τὴν
χρῆσιν, ὅτι ὡς ἀντίκειται τῇ στερήσει. καὶ
ταυτὸν γὰρ ἕξιν καὶ στέρησιν ἀδύνατον εἶναι. ἀ-
μαθεῖς τινὰς ἢ δούλας καὶ χρηστούς τε. ὡς οἰκονόμοι.
ζητεῖν ἄρα ἕξις ἢ ἡδονή. ἀλλ' οὐδὲ ὄργανον.
τὰ γὰρ ὄργανα, καὶ δι' ἄλλα. καὶ δι' αὐτά. ἡ δὲ ἡδονή.
δι' ἄλλο. ἀλλὰ δι' αὐτήν. [illegible] οὐδὲ ὄργανον.
λείπεται δὴ ἐνέργειαν αὐτὴν εἶναι. ὅθεν ἀεὶ σο-
τέλης αὐτὴν ὁρίζεται. ἐνέργειαν τῆς κατὰ φύσιν
ἕξεως ἀνεμπόδιστον. τὰ γὰρ ἐμπόδια τῆς καθ' [illegible]

φύσιν ἐνεργείας, λύπη. ἀλλὰ καὶ ἡ εὐδαιμονία,
ἐνέργεια ἐστὶν ἀνεμπόδιστος τῆς κατὰ φύσιν
ἕξεως. συμβαίνει δὴ κατὰ τὸν ὅρον τοῦτον,
τὴν εὐδαιμονίαν ἡδονὴν εἶναι. καὶ ἐσφάλθαι
τὸν ὅρον. διορθουμένους οὖν. φῶμεν εἶναι τὴν
ἡδονήν. τέλος εἶναι τοῦ ζώου κατὰ φύσιν ἀνεμ-
ποδίστων ἐνεργειῶν. ὡς οὐ μὴ συμπλέκεσθαι καὶ
νῦν ὑπάρχειν τὴν εὐδαιμονίαν τὴν ἡδονήν. ἀλλ᾽ οὐχὶ
ἡδονὴν εἶναι τὴν εὐδαιμονίαν. οὐ παντὸς ἐνέρ-
γεια κινήσεώς ἐστιν. ἀλλά τις καὶ ἀκινησίας
ἐνέργεια. καθὼ ὁ θεὸς ἐνεργεῖ. τὸ γὰρ
πρῶτον κινοῦν, ἀκίνητον. τοιαύτη δὲ καὶ ἡ τοῦ
θεωρεῖν ἐν ἀνθρώποις ἐνέργεια. διὰ γὰρ ἀκι-
νησίας. καὶ γὰρ τὸ θεωρούμενον ἐν ἡμῖν τὸν νοῦν
καὶ ἡ διάνοια τοῦ θεωροῦντος ἵστανται. περὶ ἓν
γὰρ καὶ τὸν νοῦν καταγίνεται. ἡ δὲ τῆς θεωρίας
ἡ ἡδονὴ μεγίστη τοῦτε καὶ εἰλικρινὴς καὶ ἀληθής.

διὰ ἀνικησίας γίνεται· δῆλον ὡς αἱ διάλεκτο
νων κινήσεων γινόμεναι. ὅταν δὲ ἔχωσι τὴν σου
τοσούτῳ καὶ κρείσσους καὶ μείζους εἰσί· ὁμοίως αἱ
ἑπόμεναι δὲ ταῖς ἐνεργείαις αἱ ἡδοναί, καὶ ἀεὶ δὲ
ὅταν γὰρ ἐνεργειῶν ἀρετή· τοιαῦτα καὶ ἡδονῶν
καὶ τῶν μὲν σπουδαίων καλή· τῶν δὲ φαύλων, φαύ
πε δῆλον λη· καὶ θᾶττον ὡς καθαρότητι αἰσθήσει
ἔχουσαι τῷ ὄψις καὶ αἱ ἡδοναί· ὑπερέχει γὰρ ἁφῆς·
γεύσεως· καὶ ὑπερέχει τῆς ὄψεως· ἡ τῆς ἀκοῆς·
καὶ τῆς ὀσφρήσεως, γεύσεως: καθαρωτέρα
δὲ εἰσὶ τῶν αἰσθήσεων· ὅταν μὲν πρὸς ἀπολαύζου
ται ταῖς αἰσθηταῖς ἡδοναῖς· ὡς ὄψις· καὶ ἀκοή·
καὶ ὄσφρησις· καὶ τοῦ διανοητικοῦ δέ, ὃ δηλο-
τὸ μὲν γάρ ἐστι πρακτικόν. τὸ δὲ θεωρητικόν.
δηλονότι· ὅτι καὶ τῶν ἡδονῶν τῶν παρεπομέ-
νων ταῖς ἐνεργείαις ταύταις· ὃ δηλοῖ· καὶ τῶν ἄλλων
ἡδονῶν τῶν παρεπομένων ταῖς ἐνεργείαις

τούτοις· ἀγαθόν, ἢ τούτων δὲ καθαρώτερον
τὸ θεωρητικὸν τοῦ πρακτικοῦ. τὸ δὲ ἀνθρώ-
που ἴδιον, καθὸ ἄνθρωπος, ἡ διανοητικὴ·
κοιναὶ γὰρ καθὸ ζῶον αἱ αἰσθητικαί· καὶ πρὸς
τὰ ἄλλα ζῶα. ἐπειδὴ δὲ τῶν αἰσθητικῶν ἡδο-
νῶν· οἱ μέν, ἄλλαις· οἱ δέ, ἄλλαις ἥδονται.
οὐ γὰρ τοῖς φαύλοις· ἀλλ' αἱ τοῖς σπουδαίοις κα-
λαὶ φαινόμεναι· ἢ καθ' ἑαυτάς φασι καλαί.
κεῖται γὰρ ὀρθὸς ἐπὶ παντὸς πράγματος, οὐχ
ὁ τυχών· ἀλλ' ὁ ἐπιστήμων ἢ κατὰ φύσιν διακεί-
μενος.

περὶ λύπης.

Τῆς δὲ λύπης, εἴδη τέσσαρα· ἄχος· ἄχθος·
φθόνος· ἔλεος. ἔστι δὲ ἄχος· λύπη ἀφωνί-
αν ἐμποιοῦσα· ἄχθος δὲ· λύπη βαρύνουσα· φθό-
νος δέ, λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ἔλεος δέ,
λύπη ἐπ' ἀλλοτρίοις κακοῖς. πᾶσα δὲ λύπη

κατὰ τῆς ἑαυτῆς φύσεως· ὁ γάρ τοι σπουδαῖος
λυπηθήσεται ἐπί τε χρηστῶν ἀνδρῶν διαφθειρο-
μένων, ἢ τέκνων· ἢ πόλεως πορθουμένης,
ἄλλου πονηρουμένως· οὐδὲ κατὰ προαίρε-
σιν· ἀλλὰ κατὰ περίστασιν. καὶ ἐν τούτοις δὲ,
ὁ μὲν θεωρητικὸς· ἀπαθὴς ἔσται παντάπασιν.
ἀλλοτριώσας ἑαυτὸν τούτων δή· [illegible].
ὁ δὲ σπουδαῖος· μετριοπαθὴς ἐν αὐτοῖς καὶ οὐχ
ὑπερβάλλων, οὐδὲ αἰχμαλωτιζόμενος ὑπ' αὐ-
τῶν· ἀλλὰ μᾶλλον κρατῶν αὐτῶν· ἀντίκειται δὲ
λύπη· ὡς μὲν καλὸν κακῷ τῇ μετρίᾳ ἡδονῇ.
ὡς δὲ κακὸν κακῷ· τῇ ὑπερβαλλούσῃ ἡδο-
νῇ· ἐν τοῖς σωματικοῖς δὲ ὑπερβολαὶ γίνον-
ται· αἱ γὰρ θεωρητικαὶ ἀκαταίτιοι οὖσαι· ὑπερ-
τέλειον ἔχουσαι. διὸ ὑπερβολὴν οὐκ ἐπιδέχον-
ται· οὐδὲ γὰρ ἀντίκειται αὐταῖς λύπη· οὐδὲ ἐ-
πὶ θεραπείᾳ προηγησαμένης λύπης γίνονται:

## Περὶ θυμοῦ. ζ΄.

Θυμός ἐστι ζέσις τοῦ περικαρδίου αἵματος, ἐξ ἀναθυμιάσεως τῆς χολῆς ἢ ἀναθολώσεως γινομένη. διὸ καὶ χολὴ λέγεται. καὶ χόλος. ἔστι δὲ ὅτε καὶ ὁ θυμὸς ἐστὶν ὄρεξις ἀντιτιμωρήσεως. ἀδικούμενοι γάρ. ἢ νομίζοντες ἀδικεῖσθαι, θυμούμεθα. καὶ γίνεται τότε μικτὸν τὸ πάθος. ἐξ ἐπιθυμίας καὶ θυμοῦ, εἴδη δὲ τοῦ θυμικοῦ. τρία. ὀργή. ἡ χολή. ἡ χόλος. ὡς καλεῖται μῆνις καὶ κότος. θυμὸς μὲν γὰρ ἀρχὴν καὶ κίνησιν ἔχων, ὀργή, ἡ χολή, ἡ χόλος λέγεται. μῆνις δέ, χολὴ εἰς παλαίωσιν ἀγομένη. εἴρηται γὰρ παρὰ τὸ μένειν, καὶ τῇ μνήμῃ παραδίδοσθαι. κότος δέ, ὀργὴ ἐπιτηροῦσα καιρὸν εἰς τιμωρίαν. εἴρηται δὲ καὶ αὐτὸς παρὰ τὸ κεῖσθαι. ἔστι δὲ ὁ θυμός, τὸ δορυφορικὸν τοῦ λογισμοῦ. ὅταν δὲ αὐτὸς ἄξιον κρίνει, τὸ γινόμενον ἀγανακτήσεως. τότε ὁ θυμὸς

ἐπράξε ἐξετάζηται ἐὰν καὶ μὴ ἐφ' οἷς τὴν οἰκείαν
τυχεῖν φυλακτικοῦν :

## περὶ φόβου :

Διαιρεῖται δὲ καὶ ὁ φόβος εἰς ἕξ· εἰς ὄκνον· εἰς
αἰσχύνην· εἰς κατάπληξιν· εἰς ἔκπληξιν· εἰς
ἀγωνίαν· ἔστι δὲ ὄκνος μὲν· φόβος μελλούσης
ἐνεργείας· κατάπληξις δέ, φόβος ἐκ μεγάλης
φαντασίας· ἔκπληξις δέ, φόβος ἐξ ἀσυνήθ-
ους φαντασίας· ἀγωνία δέ, φόβος διὰ πτώ-
σεως· τουτέστιν ἀποτυχίας· φοβούμενοι γὰρ
ἀποτυχεῖν τῆς πράξεως ἀγωνιῶμεν· αἰδὼς
δέ, φόβος ἐπὶ προσδοκωμένῳ ψόγῳ· κάλλιστον
τοῦτο τὸ πάθος· αἰσχύνη δέ, φόβος ἐπ' αἰσχρῷ
πεπραγμένῳ· οὐδὲ τοῦτο δὲ ἀνέλπιστον εἰς σωτη-
ρίαν. τούτῳ δὲ διαφέρει αἰδὼς αἰσχύνης· ὅτι
ὁ μὲν αἰσχυνόμενος ἐφ' οἷς ἔπραξε, καταδύ-
εται· ὁ δὲ αἰδούμενος, φοβεῖται περιπεσεῖν

ἀδεξίᾳ τινί· καλοῦσι δὲ οἱ παλαιοὶ πολλάκις ἤ, τὴν αἰδῶ, αἰσχύνην· καὶ τὴν αἰσχύνην αἰδῶ. καταχρώμενοι τοῖς ὀνόμασι· γίνεται δὲ ὁ φόβος κατὰ περίψυξιν τοῦ θερμοῦ παντός. οἷον τε ῥέοντος ἀπὸ τῶν περάτων ἐπὶ τὸ ἀρχικόν. καθάπερ καὶ ὁ δῆμος ὅταν φοβῆται καὶ φεύγῃ πρὸς τοὺς ἄρχοντας. τῆς δὲ λύπης ὄργανον τὸ στόμα τῆς κοιλί(ας). τοῦτο γάρ ἐστι τὸ τῆς δήξεως αἰσθανόμενον ἐν ταῖς λύπαις. ὡς ὁ γαληνός ἐν τῷ τετάρτῳ τῆς ἀποδεικτικῆς φησὶν ὅλως πως. τοῖς λεγομένοις· δηλοῖ ὀλίγον ἀστεῖον γαστέρα καὶ ἀράξαν τῆς χολῆς. ὁ τῶν δῆξιν αὐτοῖς παρέχει. ἡ οὖν προέλκει πάνοντα λυπούμενοι ἢ δεινοχοῦντες. πρὶν ἐξεμέσαι τὴν χολήν· γίνεται γὰρ ἡ δῆξις αὐτοῖς ἀπὸ τοῦ κάτω κατὰ τὰ μέσα στέρνα χόνδρου. τοῦ ξιφοειδοῦς ὀνομαζομένου. πολὺ δὲ ἀνωτέρω κεῖται ἡ καρδία. τὸ γὰρ διάφραγμα ὑπὸ μὲν γαστήρ. κα

γε δ' λυπουμ(ένοις)

τολμηροτέρω ἐστίν, ἡ δὲ παρρησία· τὸ γὰρ διαφέρει
μᾶλλον ἡ μὲν γὰρ ἐπιτίμησις τολμηροτέρα ἐστίν· ἡ δὲ παρ-
ρησία ἀνωτέρω· συνήθως δὲ οἱ παλαιοὶ παρ-
ρησίαν καὶ τὸ σχῆμα τῆς γραφῆς καλοῦσιν. ὡς
Ἱπποκράτης καὶ Θουκυδίδης ἐν τῷ λοιμῷ
λέγων ἄλλως. τὴν τοιαύτην ἀξίαν παρρησίαν ἐπιεῖξαι.
ἀνεπαχθῆ τε αὐτήν· καὶ ἀποκαθάρσεις χο-
λῆς πάθει. ὅπερ δὲ τοῖς ἀλεῶν ἀστὶν ἀνομαλ-
μένα, ἐποίησεν. τὸ γὰρ ἀναστρεφόμενον τὸ
σχῆμα τῆς γραφῆς ἐστίν· ἀναγκαζόμενον ἐμαυ-
τοῦ τὸ σπλάγχνον ἡ παρρησία.

περὶ τοῦ ἀληθοῦς καὶ καθηκόντος λόγου:

Ὁ μὲν οὖν ἐπὶ τοῖς πάθεσι λόγος, τοῦτον ἔχει τὸν τρόπον.
τὸ δὲ μὴ παθητικὸν λόγων ἐστί· τὸ μὲν θρηνητικὸν
καὶ γλυκυτικόν· καὶ σφυγμικόν. κατὰ ταῦτα δὲ σφυ-
στικὸν μέν. τὸ θρηνητικὸν καὶ γλυκυτικόν· ζωτικὸν
δὲ τὸ σφυγμικόν:

περὶ τοῦ θερμοπίνου:

Τοῦ δὲ θερμοπίνου φασὶν εἶναι δυνάμεις ἁπλῶς τέσσαρες.
ἑλκτική. καθεκτική. ἀλλοιωτική. ἀποκρι-
τική. ἕκαστον γὰρ τῶν μορίων τοῦ ζῴου. φύσει
ἕλκει πρὸς ἑαυτὸ τὴν οἰκείαν τροφήν. καὶ ἑλκύσαν
κατέχει. καὶ κατασχὸν πρὸς ἑαυτὸ μεταβάλλει. καὶ
ὅλως τὸ περιττὸν ἐξωθεῖ. καὶ αὐτή φασιν αἰσθήμα-
μας. αἱ τῶν τροφῶν τῶν μορίων τοῦ σώματος
διοικοῦνται, ἐξ ὧν ἡ αὔξησις ἡ τελειωτικὴ
καὶ πρᾶξις γίνεται. σημειοῦνται δὲ τὸ ὑπερβάλλον.
διὰ χρώσεως. διὰ οὔρων. διὰ μελῶν. διὰ ἱδρώτων.
διὰ στόματος. διὰ ῥινῶν. διὰ ὤτων. διὰ ὀφθαλμῶν.
διὰ τῆς συντονίας. διὰ τῶν ἀδήλων πόρων. ἀσ-
θενοῦσι ἀλλὰς συνεῖσαι. πρόσθεν. διὰ ὤτων
δὲ ὑπακουομένη ἢ ψέλλη. ἡ τὶς ἐστὶ ῥύπος τῶν ὤ-
των. διὰ δὲ τῶν ὀφθαλμῶν. διὰ ῥεῦμα. καὶ λῆμμα.
διὰ δὲ τῆς συντονίας, τὸ λιγνῶδες τῆς θερμο- λιγνυῶδες

τητος τῆς καρδίας· ἀδήλους δὲ πόρους φασὶ
τινὲς ἀτρυνικοὺς παντὸς τοῦ σώματος· καθ' ὧν
ἐκ τοῦ βάθους καὶ τῆς σύριγγος τῶν ἀρτηριῶν συν-
άπτων πολλοὶ διὰ τῆς μανότητος τοῦ δέρμα-
τος διεξέρχονται· ὄργανα τοῦ θρεπτικοῦ· τό τε
στόμα· καὶ ἄρχεται καὶ ὁ στόμαχος· καὶ τὸ ἧπαρ·
αἵ τε φλέβες πᾶσαι· τά τε ἔντερα· καὶ αἱ χολαὶ·
ἀμφότεραι· καὶ οἱ νεφροί· τὸ γὰρ στόμα πρῶτον
προκατασκευάζει τὴν τραχεῖαν τῶν τροφῶν· ἅτε
ἀλεταὶ καλουμένων αὐτῷ διὰ τῶν ὀδόντων καὶ τῆς
γλώττης· μάλιστα γὰρ ἡ γλῶττα στρέφουσα πα-
ρέχεται τὴν διαμάσησιν συνάγουσα τῶν τροφῶν·
καὶ τοῖς ὀδοῦσιν ὑποβάλλουσα· καθάπερ αἱ ἀ-
λετρίδες· διὰ τῆς χειρός· τὸν σῖτον ταῖς μύλαις·
πλεῖστον γὰρ τινὰ καὶ ἡ γλῶττα παρέχει τῆς διαμα-
σήσεως· ὅθεν δὲ καλῶς ἀθροίσασα τὴν τροφὴν πα-
περὶ στομάχου ραπέμπεται εἰς τὴν κοιλίαν διὰ τοῦ στομάχου· ὁ γὰρ

στόμαχος, οὐ μόνον ἀσθενέστερον ἐκ τῆς ἐνδείας,
ἀλλὰ καὶ διὰ δὲ τοῦ σιτίων· ἀναλέγεται γὰρ ἐν
τῇ καταπόσει· καὶ ἐκ τοῦ ἀποβάλλειν τῶν τροφῶν· ἐκ τοῦ
ἐμπέμπεται τῇ κοιλίᾳ· ὁ δὲ καὶ τοῦ παραλαμβάνοντος·
ἀφαιρεῖται τὸ χρηστὸν ἐκ τοῦ τρόφιμον· ἀπὸ τῶν λιθώ-
δους ἢ ξυλώδους· ἢ ἀτρόφου· ἐκ τοῦ μὲν χρηστοῦ
ἀρχὰς χυμοὺς μεταβάλλουσα, ἀναπέμπεται τῷ ἥπατι
διὰ τῶν φλεβῶν τῶν ἑλκουσῶν ἀπ' αὐτῆς καὶ διοχε-
τευουσῶν εἰς τὸ ἧπαρ· αἵτινες φλέβες· ῥίζαις
ἐοίκασι τοῦ ἥπατος· ἕλκουσαι ἀπὸ τῆς γαστρὸς
τὴν τροφήν· ὡς ἀπὸ τῆς γῆς ἕλκουσιν αἱ τῶν φυ-
τῶν ῥίζαι· ἔοικε γὰρ ἡ μὲν κοιλία, τῇ γῇ τῇ παρέ-
χουσα τὴν τροφὴν τοῖς φυτοῖς· ῥίζαις δὲ αἱ φλέβες,
αἱ κατὰ τὰς πύλας καὶ τὰ σιμὰ τοῦ ἥπατος ἀναλογοῦ-
σι· τὸν χυμὸν ἀπὸ τῆς γαστρὸς καὶ τῶν ... ἐντέρων·
διὰ τοῦ μεσαραίου περαιοῦσι δὲ εἰς τὸ ἧπαρ αὐτό· καὶ
διὰ τοῦτο καλοῦνται μεσαραῖοι· αἱ φλέβες αἱ καταδιεξο-

μένας τῆς κοίλης φλεβός. τῆς ἀποφυομένης
ἐκ τῶν κυρτῶν τοῦ ἥπατος. τὸ δὲ ἧπαρ δεξά-
μενον ἐκ τῆς κοιλίας τὸν χυμὸν. οὐ μὴν ἀκατέ-
κ ἐξομοιοῖ ὥσπερ τῷ ὁμοίῳ τὴν ἤδη δὲ ἔχων τὴν σάρκα
τῷ αἵματι· ὅθεν ὡς ἐς αἷμα μεταβάλλει τὸν χυ-
μόν. τὸ δὲ αἷμα καθαίρεται διά τε τοῦ σπληνὸς,
καὶ τῆς χολιδόχου κύστεως. καὶ τῶν νεφρῶν. τοῦ
μὲν σπληνὸς· τὸ ἰλυῶδες ἕλκοντος· τὸ ὑπὸ φλογὸς οἷ-
ον ἀποκαιομένου. τῆς δὲ χολιδόχου κύστεως. τὸ
δριμὺ τὸ ἐναπομεῖναν τοῖς χυμοῖς ἐκ τῆς τρο-
φῆς. τῶν δὲ νεφρῶν. τὸ ὀρρῶδες μετὰ τοῦ περιλι-
πομένου δριμέος. ὡς καθαρὸν γίνεσθαι πάνυ λεπτόν.
τὸ αἷμα γενόμενον, ἔστι φλέβα διανέμεσθαι τοῖς
ἄλλοις πᾶσι μέρεσι τοῦ σώματος. διὰ τῶν καλου-
πορευομένων ἀπὸ τῶν φλεβῶν, καὶ ὅλως ἕκαστον
τῶν μορίων ἕλκον τὸ αἷμα κατὰ λόγον. ἢ μεταβάλλει
ἐς τὴν ἰδίαν φύσιν. τὸ περιττὸν ἀποκρίνον

τοῖς γενικωτάτοις εἴδεσι· τὸ φλέγμα καὶ τοῦ λήθαιου ἐκεί-
νοις γινόμενον· ἢ τοῦτο ἐν τοῖς ἑκάστου πάντη
τὰ μόρια· ἐξαιματοῦσα λέγεται· ἡ αὔξησις· ἡ δι'
ἀναλογίᾳ χορηγοῦντος αὐτὸ τοῦ ἥπατος· λέγεται
γὰρ τοῦτο τὸ μέρος τοῦ ἀλόγου μὴ παθητικὸν λόγῳ,
ἐπειδὴ περὶ οὐ καταλήγομεν ἡμεῖς· ὅθεν καὶ τὸ
προαιρετικὸν· ἀλλὰ φυσικῶς τὸ ἴδιον ἔργον
ἀποτελεῖ:

ις

## περὶ σφυγμῶν:

Ἡ δὲ σφυγμικὴ κίνησις· κατὰ τὴν μὲν ἡ ζωτικὴ
δύναμις· ἔχουσα δὲ τὴν καρδίαν ἀρχήν· μά-
λιστα τὴν ἀριστερὰν αὐτῆς κοιλίαν τὴν πνευμα-
τικὴν καλουμένην· τὴν ἔμφυτον καὶ ζωτικὴν
θερμότητα διανέμει παντὶ δὲ μορίῳ τοῦ σώμα-
τος διὰ τῶν ἀρτηριῶν· καθάπερ τὸ ἧπαρ διὰ
τῶν φλεβῶν τὴν τροφήν· θερμαινομένης γοῦν τῆς
καρδίας, εὐθέως καὶ τὸ ἔξωθεν ὅλον περιφρουρεῖ

θερμαίνεσθαι, ἢ ψυχομένους ψύχεσθαι, τὸ γὰρ ζωτι-
κὸν πνεῦμα παρ' αὐτῆς διὰ τῶν ἀρτηριῶν. ὡς
πᾶν τὸ σῶμα καταπέμπεται. σύζυγα δὲ κεῖ-
ται ὡς ἐπὶ τὸ πλεῖστον ἀλλήλοις. τὰ ἀγγεῖα ταῦτα.
φλέψ. ἀρτηρία. νεῦρον. ἐκ τῶν τελείων ἀρ-
χῶν τῶν διοικουσῶν τὸ ζῶον. ἐξ ἐγκεφάλου
Η' κινήσε= ως τε μὲν, ἀρχῆς οὔσης αἱματώσεώς τε καὶ αἰσθήσεως.
τὸ νεῦρον. ἐξ ἥπατος δὲ, ἀρχῆς οὔσης αἱματώ-
σεώς τε καὶ θρεπτικοῦ. ἡ φλὲψ τὸ ἀγγεῖον τοῦ αἵματος.
ἐκ δὲ τῆς καρδίας ἀρχῆς οὔσης τοῦ ζωτικοῦ, ἡ ἀρ-
τηρία τὸ ἀγγεῖον τοῦ πνεύματος. σύνεισι δὲ ἀλλή-
λοις, τὰς παρ' ἀλλήλων ὠφελείας καρπούμενα.
ἡ μὲν γὰρ φλὲψ, τὸ φλεβῶδες χορηγεῖ τῷ νεύρῳ καὶ τῇ
ἀρτηρίᾳ. ἡ δὲ ἀρτηρία μεταδίδωσι, τῇ φλεβὶ
θερμασίας φυσικῆς καὶ πνεύματος ζωτικοῦ.
ὅθεν οὔτε ἀρτηρίαν ἐστὶν εὑρεῖν χωρὶς αἵματος
λεπτοῦ, οὔτε πνεύματος ἀτμώδους, χωρὶς

φλέβα· διαστελλομένη δὲ πρὸς δέος· καὶ οὐ στέλλε-
ται ἡ ἀρτηρία· κατὰ ἁρμονίαν τινὰ καὶ λόγον τινὰ
ἀρχὴν ἔχουσα τῆς κινήσεως, ἐκ τῆς καρδίας·
ἀλλὰ διαστελλομένη μὲν ἐκ τῶν παρακειμένων
φλεβῶν, ἐφέλκεται λεπτὸν αἷμα· ὅπερ
ἀναθυμιώμενον, τὸ ἔμφυτον ζωτικὸν πνεῦμα τί-
κτει· συστελλομένη δὲ τὰ αἰθαλώδη τὰ ἐν αὐτῇ ἐκκενοῖ
πανταχόθεν τοῦ σώματος· καὶ τῶν ἀδήλων πόρων
διὰ τοῦ στόματος καὶ τῆς ῥινός ἡ καρδία, τὰ λιγνυ-
ώδη ἐν ταῖς ἐκπνοαῖς ἐκκαθαίρει:

## περὶ τοῦ γονορρυητικοῦ ἢ σπερματικοῦ:

Καὶ τὸ γονικὸν δέ· τὸ μὲν ῥεῦσις ἐστὶ τοῦ μὴ κατὰ και-
ρὸν· ἀβουλήτως γὰρ ἐν τοῖς ὀνειρώξεσι περαινό-
μενον τὸ γόνιμον· ἢ ἡ ἐπιθυμία δὲ τῆς συνουσίας
φυσική· ἀκοντες γὰρ ἐπ' αὐτὴν κινούμεθα·
ἡ δὲ πρᾶξις ὁμολογουμένως ἐφ' ἡμῖν· καὶ ψυχι-
κή· καὶ γὰρ διὰ τῶν καθωρμένων ὀργάνων συντελεῖται·

καὶ ἀποσῴζεσθαι ἢ κρατύνεσθαι τῆς ὁρμῆς· ἐκφύσει μὲν
ἐστίν· ὄργανα δὲ τῆς σπερματικῆς δυνάμεως,
πρῶτον μὲν αἱ φλέβες καὶ αἱ ἀρτηρίαι· ἐν τού-
τοις τὸ θορῶδες πρῶτον ὑγρὸν τίκτεται, μεταβαλ-
λόντος τοῦ αἵματος, καθάπερ ἐν τοῖς τιτθοῖς τὸ γάλα.
τροφὴ γὰρ τῶν ἄλλων μορίων ἐστὶν ὁ χυμὸς οὗτος.
ἡ γὰρ τὴν ἀρχὴν, σπέρματος γένεσις αὐτῆς
ἐστὶν ἐκ ποίου; οἱ μὲν οὖν αἱ ἀρτηρίαι καὶ φλέβες
τὸ αἷμα ἐς τὸ θορῶδες ὑγρὸν ἵνα τρέφωνται· τὸ
δὲ περισσὸν τῆς τροφῆς αὐτῶν γίνεται γονή.
ἀναφέρεται γάρ· πρῶτον μὲν διὰ πορείου τοῦ πολ-
λῆς ἐς τὸν ἐγκέφαλον· πάλιν δὲ ἀπὸ τῆς κεφαλῆς
καταφέρεται διὰ δύο φλεβῶν καὶ δύο ἀρτηριῶν,
ὅθεν καὶ αὐτοῖς ἐκτέμνει τὰς φλέβας τὰς παρὰ τὰ
ὦτα. καὶ τὰς παρὰ τὰς καρωτίδας· ἄγονοι
ποιοῦνται τῶν ζώων. αὗται δὲ αἱ φλέβες καὶ αἱ ἀρτηρίαι
γίνονται τ' ἐχῖνα δὶς καὶ παρ' ὅσα δὲ τὸ πλέγμα τὸ

ἐκ τῶν ὀρχέων. ἔνθα θορῶδες ὑγρὸν ἀμφοτέρα.
ἀσκὴ παράκειται τῶν διδύμων. μία ἀρτηρία καὶ μία
φλέψ. πλήρης σπέρματος ἐν τούτοις δὲ τελευτῶσιν
ἀπὸ σπερματοῦται καὶ διὰ τοῦ δ' ἤπερ σφοδροῦς παρα-
σχόντων μετὰ τοὺς διδύμους. ἐκκρίνεται μετὰ
τοῦ σπέρματος. διότι ἡ ἀρτηρία ἐστὶν ἡ σπόρου
τῷ. ὅτι καὶ ἀπὸ φλεβὸς φέρεται, διότι ἐστὶν ἐν
τῆς καρδίας, ὅταν γὰρ ἔτι πολὺ συνουσιάζωσι
ἢ πλέον ἀναλώσωσι τὸ σπέρμα λοιπὸν καὶ θερμὸν
χυμὸν, τότε ὑπὸ τῆς βιαίας ὁλκῆς, αἷμα καθα-
ρὸν ἐκκρίνουσι. καὶ αἱ γυναῖκες δὲ, πάντα
τὰ αὐτὰ τοῖς ἀνδράσιν ἔχουσι μόρια. ἀλλ' ἔνδον
καὶ οὐκ ἔξω, ἀεὶ ἀτελῆς μένουσι καὶ δημιουργεῖται.
ὅθεν βούλονται ζωτικὴν τὸ τῆς γυναικὸς σπέρμα
πρὸς γένεσιν τέκνων. τὸ γὰρ περιττωμάτων ἐκ
τῶν γυναικῶν. ἴδε ὥστε τὸ μορίου μᾶλλον ἢ γονίμου.
βούλονται εἶναι. γαλακτῶδες δὲ καταγίνωσκον ἀεί-

τέλους, ἐλέγετο σπέρμα ἀναφερομένου τῆς γυναικὸς·
καὶ τὴν μῖξιν ἀμφοτέρων τῶν σπερμάτων πρὸ-
φιν τὸ κύημα· διὸ καὶ τὴν συνουσίαν, μῖξιν λέ-
γεσθαι· ἐμὲ φυλάττειν γυναῖκα τὸ τοῦ ἀνδρός.
ἀλλὰ τὸ ἀπομυσάθαι καὶ ὑγρότερον· τοιαύτη δὲ
οὖσα τῆς γυναικὸς ἡ γονή. τὸ φαίνεται τὸ τοῦ ἀν-
δρός. ἐξ αὐτῆς δὲ ἡ μῖξις τοῦ ζωείου. τὸ περὶ
τῆς κυρίας τῆς μήτρας συμπήγνυται. καὶ ὁ
καλούμενος ἀλλαντοειδής, δέχεται τῶν τοῦ
περιττωμάτων τοῦ ἐμβρύου. καθάπερ δὲ
γένος ζώου. εἰ τὸ περισσεύει ἡ θάλασσα τὸ ἄρρε-
ναν, ὅταν δύνηται κυΐσκεσθαι. τὸ δὲ ἐννέα-
μηνιαῖα κυΐσκεσθαι, ἀφ' περισσεύει τὴν
συνουσίαν. ὡς ἀλλαντοειδής, ἡ περισσεία.
ἡ ἄνθρωπος, ἀλλὰ τὸ μὲν ἀλλαντοειδὴς τὴν
σπουδὴν ἀποφεύγει· μόνη δὲ ἀφ' περισσεύει
ἀλλ' ἀλλαντοειδὴς τὸ καθάπερ τὸ φύσει ἡμῖν

τίκτειν· καθ' ἕκαστον ὡρισμένον πρὸς οἰκείαν τὴν συ-
νουσίαν· αἱ δὲ γυναῖκες, ὡς ἂν τοῖς ἄλλοις
τὸ αὐτεξούσιον ἔχουσιν, ὅλως καὶ ἐν τῇ συνου-
σίᾳ τῇ μεταβολῇ τῶν συμψηφεῖν. τὰ γὰρ ἄλογα τῶν ζώων,
δ' ἐπὶ καιρὸν τῶν· ἀλλὰ τὸ τῆς φύσεως κανονίζει
κίνημα καὶ καιρὸν ἐγνωσμένον δέχεται.

## Τίς ἄλλη διαίρεσις τῶν διοικουσῶν δυνάμεων τὸ ζῷον.

Διαιροῦσι δὲ καὶ ἄλλως τὰς κατὰ τὸ ζῷον δυνάμεις,
εἰς τὰς μὲν ψυχικάς, τὰς δὲ φυσικάς. τὰς δὲ ζωτι-
κὰς φασί· ψυχικὰς μὲν τὰς κατὰ προαίρεσιν·
φυσικὰς δὲ καὶ ζωτικάς, τὰς ἀπροαιρέτους, καὶ
ψυχικαὶ μέν εἰσι δύο· ἥ τε καθ' ὁρμὴν κίνησις,
καὶ ἡ αἴσθησις. τῆς δὲ καθ' ὁρμὴν κινήσεως
ἡ δή, τὸ μὲν μεταβατικόν, καὶ κινητικὸν τοῦ σώ-
ματος παντός, ἢ φωνητικόν, ἢ ἀναπνευστι-
κόν, ἐφ' ἡμῖν γὰρ ταῦτα καὶ ποιεῖν καὶ μὴ ποιεῖν.

φυσικαὶ δὲ, ἢ ζωτικαί. ἃ καὶ ἔφημεν ἀλλὰ καὶ
ἑκόντων καὶ ἀκόντων γινόμεναι· ὥσπερ θρε-
πτική, ἡ αὐξητική, ἡ σπερματική φυσικαὶ
δὲ. ἡ σφυγμικὴ ζωτικὴ οὖσα. τὰ δὲ ὄρ-
γανα τούτων μὲν ἄλλων, ἔμπροσθεν εἴρηται. τῆς
δὲ κατὰ προαίρεσιν κινήσεως, νῦν ἐροῦ-
μεν :

## Περὶ τῆς καθ' ὁρμὴν ἢ κατὰ προαίρεσιν κινήσεως. ἥτις ἐστὶ τοῦ ὁρμητικοῦ.

Ἔστιν οὖν τῆς κατὰ προαίρεσιν ἢ καθ' ὁρμὴν κι-
νήσεως, ἀρχὴ μὲν ὁ ἐγκέφαλος καὶ ὁ νωτιαῖος
μυελός· ἢ ἐγκεφάλου μέρος ὢν καὶ αὐτός. ὄρ-
γανα δὲ, τὰ ἐκ τούτων πεφυκότα νεῦρα,
καὶ οἱ σύνδεσμοι καὶ οἱ μύες. οἱ δὲ μύες σύνθε-
τοί εἰσιν. ἔκ τε σαρκὸς καὶ νεύρου ἐκ δεσμοῦ ἰνῶν ἢ
τενόντων συμπεπλεγμένων τοῖς τῶν νεύρων
ἰνῶν, ὅθεν τινὲς ὠνόμασαν αὐτοὺς αἰσθητούς

σῆναι· διὰ τὴν γινομένην ἐκ τῶν συμπλεκο-
μένων αὐτοῖς νεύρων αἴσθησιν· ἐστὶν οὖν
ὀλίγων ζώων θεῖος. ἐπεὶ οὖν δίχα μὲν ἡ νεύρων
λεπτῶν διαφέρει δὲ τῶν κινούντων· ὅτι παρ' αὐ-
μένων ἐν αἰσθητικὸν ἐστὶ καὶ στερεμνιον καὶ ἀ-
παλώτερον, καὶ ἀπὸ τῆς κεφαλῆς τὴν ἀρχὴν ἔχει·
ὁ δὲ τένων· καὶ σκληρὸς· καὶ ἐξ ὀστέου· καὶ
ἀναίσθητος καθ' ἑαυτόν· καὶ ὀστοῦ δὲ ἐκπλακείς.
ὅτι δὲ αἱ μὲν χεῖρες, ἀντιληπτικὸν ὄργανον.
καὶ πρὸς τὰς τέχνας ἐπιτήδειον· καὶ γὰρ
τῆς ἀφῆς τὰς χεῖρας· ἢ τῶν χειρῶν μόνους τοὺς
δακτύλους, ὡς πάσας σχεδὸν τὰς τέχνας, ἀπερ-
γάζεσθαι τὸν ἄνθρωπον, διὸ καὶ μόνος ἄν-
θρωπος ἐπιτήδειος γίνεται· καὶ χειρῶν δεκτικός,
τέχνας ἔχει παρὰ τοῦ δημιουργοῦ· οἱ δὲ πόδες.
μεταβατικὸν ὄργανον· τὴν γὰρ κατὰ τόπον κίνη-
σιν, διὰ τούτων ποιούμεθα. μόνος δὲ ὁ ἄνθρω-

καθέξεται μηδενὸς ἐρασμάτος στερόμενος. μό-
νος γὰρ περὶ στερεογωνίας ὀρθὰς κάμπτεται ὁπό-
λη καὶ ταῦτα τὸ ἴδιον. περὶ νῶ, τέμνω, ἤτοι τά-
εἶδον, τέμνει ἤτοι τὰ ἔξω. ὁ ταῦτα γενόμενος ἀνώ-
ρων ἡμῖν ὡς κινεῖται, πάντα ταῦτα ψυχικὰ τέ-
ἐστι. καὶ κατὰ περὶ φύσιν ἀποτελεῖται. τούτων
δὲ τὰς αἰσθήσεις τὴν φωνὴν ἀρξάμενος εἶναι.
αὕτη μὲν οὖν ἐστι ἡ κατὰ λόγον τούτων ψυχικῶν καὶ
φυσικῶν ἔργων διάγνωσις. ὁ δὲ δημιουργὸς
κατὰ τὴν ἀρχὴν ἑαυτοῦ περαινόμενος, οἷον
πολλάκις τοῖς φυσικοῖς τὰ ψυχικά. καὶ ἀνάπαλιν ἐ-
πειδὴ γὰρ ἐκ δύο τούτων περὶ τὸ σῶμα τούτων. τῆς ἀ-
πορίας τῆς ἐστὶ δι᾽ ἀμέσως. ἢ τὶς μία τῶν φυ-
σικῶν ἐστὶ δι᾽ ἀμέσων, ἵνα μὴ ἀπεράντως
ἀρχομένων ἔνθα ὅδε. καὶ τοῦτο οὐδέ. καὶ ἐ-
φῶν ὅδε περιεχόμενοι, τοὺς περὶ ους τινὰς ἤτοι
στοιχεῖοις σημειοῦν, τοὺς μὲν. καὶ ὅλως ἐποίησε

τελείας φύσεως· ἔργα ψυχικὰ τῆς γνώμης ἑκου-
σίως ἐπιτυχεῖν διὰ τούτων δυνάμεθα, καὶ πολλά-
κις καὶ ἐπὶ τὸ πολύ. καὶ τὰ προειρημένα δὲ τὰ μὲν αἰ-
σθητικὰ καὶ μαλακὰ νεῦρα, ἀπὸ τῆς μέσης
καὶ τῶν ἔμπροσθεν κοιλιῶν τοῦ ἐγκεφάλου. τὰ
δὲ σκληρότερα καὶ κινητικά, ἀπὸ τῆς ὄπισθεν
κοιλίας· καὶ τοῦ νωτιαίου μυελοῦ· σκληρότερα
δὲ μᾶλλον ἐστί· τὰ ἐκ τοῦ νωτιαίου. καὶ τούτων
δ' ἔτι μᾶλλον, τὰ ἐκ τῶν κάτωθεν μερῶν τοῦ νω-
τιαίου. ὅσῳ γὰρ πλέον ἀποχωρεῖ τοῦ ἐγκεφάλου
ὁ νωτιαῖος, τοσούτῳ πλέον αὐτός τε σκληρότερος
γίνεται. καὶ τὰ νεῦρα τὰ ἀπ' αὐτοῦ φυόμενα. ὥσ-
περ δὲ τὰς αἰσθήσεις διττὰς ἐλέγομεν, οὕτω
καὶ τὰς ἐκφύσεις τῶν νεύρων διττὰς ἔφαμεν. ἕκα-
στος γὰρ σφόνδυλος τοῦ νωτιαίου, συζυγίαν ἐκ-
πέμπει νεύρων· ης· τὸ μέν, ἐπὶ τὰ δεξιὰ μέρη
τοῦ σώματος χωρεῖ· τὸ δ' ἐπὶ τὰ ἀριστερά

φυσῶν γὰρ ὁμοῦ ἢ μυκτὴρ τὸ στόμα, ἀέρα δὲ μὴ μυεῖ-
σαι, ἡ ἀσφυξία καὶ ἀσθένεια· ὅτι ὅλως ἢ καὶ ποτὲ
καὶ ταχέως· καὶ τῶν ἄλλων [illegible] καὶ τῶν αἰσθη-
τηρίων:

## περὶ ἀναπνοῆς:

Καὶ ἡ ἀναπνοὴ δέ, τῶν ψυχικῶν ἐστὶν ἔργων.
καὶ γὰρ μύες φασὶν οἱ διαστέλλοντες τὸν θώρακα· τοῦ
κινεῖσθαι τὸ τῆς ἀναπνοῆς ὄργανον· καὶ καθὼς
ἡ συναρμώδης ἀναπνοὴ ἀπὸ τοῖς μεγάλαις
λύπαις γίνονται, ψυχικὴν δηλοῦσι τὴν ἐνέρ-
γειαν· ἐφ' ἡμῖν δέ· καὶ αἰτία τὸ τὴν χρείαν τῆς ἀ-
ναπνοῆς μεταβολή· ἀλλοιοῦντες γὰρ τὴν ἀ-
ναπνοὴν [illegible] ἢ τῶν συγκινουμένων
αὐτῆς· οἷον τὸν διαφέροντας ἢ τὸν [illegible]·
ἢ [illegible]· ἢ τῆς ἡλικίας. καὶ τῶν λοιπῶν [illegible]
[illegible] ἀναπνεόμενον. [illegible]
[illegible]

ἄχρι τοῦ μέσου. τοῖς κινοῦσι δὲ, ἵνα διὰ τὸ φανοῦν τὸ-
τὸ μέγεθος, ἢ τοῖς κινούσης ἀναπληρῶσι. ἡ
γὰρ ἐπαναχρωμένη τὸ σκέλος, ὑπὸ τὸ ἴχνον ἐν τῷ
νομένῳ αὐτὸ διέζοντες διὰ τῶν αὐτῶν ἀλτίαρ
διὰ τὴν ἀναπνοήν. ὥσπερ οὖν οἱ τὸ βα-
δίζειν ἐφ' ἑκάστου, δῆλον ἡ τῆς ἀναπνοῆς.
ἀλλ' ἢ συμβαδίζοντες μὲν ἢ μὴ βαδίζοντες, ἐπὶ
πλεῖστον χρόνον ζῆν δυνάμεθα. τὸ δὲ ἀνα-
πνοὴν δ' ἔστι καλὸν ὥσπερ μέρος ὑπὸ τοῦ χαλοῦσθαι-
τε. καταπονούμενον γὰρ τὸ ἐν ἡμῖν θερμὸν
ἐν τῆς σύνθεσ. καταβεννύται. ἢ παραχρῆμα
ἀναλογεῖν ἀπάγει. ἢ γὰρ φλέγματος σηπεδόνα. ἐνα-
γκαῖον τινὶ διαπονούμενον οὐκ ἔχοντι, ἀπόσβεσιν
ἄν, αὐτὸν καταπονῆσαι ἀπὸ τῆς λίγνυος. διὰ
τοῦτο οὖν τὴν ἀναγκαίαν. ἡ κοινωνία οὐ μηδέν.
ὅθεν ὑπὸ τὴν ἐνέργειαν καὶ τοῦ τὸ μέρος ἡ ψυχή, ἀ-
δύνατα. ὥστε τὸ βραχύτατον ἐνθυμῆσαι. διὰ ταῦτα

ρεται τὸ ζῶον, πάλιν οὖν ἐνταῦθα τὴν φυσικὴν
ζωτικὴν πλάκα τὸ ψυχικόν· δι᾽ ἀρτηρίας γὰρ ποι-
οῦ τὴν ἐνέργειαν τῆς ἀναπνοῆς· ὀργάνῳ φυ-
σικοῦ καὶ ἀφ᾽ κινουμένου. ἵνα μὴ δέ ποτε ἐ-
πιλίπῃ τὸ ἔργον αὐτῆς· ὡς δὲ τῶν ἄλλων ἀρ-
τηριῶν· ὅθεν τινὲς ὀνομάζουσι· φυσικὴν
ἐνόμιζον καὶ ταύτην ἀναπνοήν· τὰ δὲ τῆς
ἀναπνοῆς ἐστὶν αἴτια· χρεία· δύναμις·
ὄργανα· χρεία μὲν διττή· φυλακή τε τῆς ἐμ-
φύτου θερμασίας· καὶ θρέψις τοῦ ψυχικοῦ πνεύματος·
ἀλλ᾽ ἡ μὲν φυλακὴ τῆς κατὰ φύσιν θερμότητος.
διά τε τῆς ἀναπνοῆς καὶ τῆς ἐκπνοῆς σῴ-
ζεται· τῆς μὲν ἀναπνοῆς, ψυχούσης καὶ μετρί-
ως ἀναρριπιζούσης τὸ θερμόν· τῆς δὲ ἐκ-
πνοῆς, τὰ λιγνυώδη τῆς καρδίας ἐκκενού-
σης· ἡ δὲ θρέψις τοῦ ψυχικοῦ πνεύματος, διὰ
μόνης τῆς ἀναπνοῆς· ἐπειδὴ γὰρ τοῖς ἀέρος

μύειν κατὰ τὰς διαστολὰς τῆς καρδίας, ἀσαῦ-
τιώ, δίω αἷμα δὲ ψυχικόν. αὕτη γάρ ἐστιν ἡ κι-
νοῦσα τὰ ὄργανα τῆς ἀναπνοῆς διὰ τῶν μυῶν.
ἢ περὶ τὸν θώρακα. τούτῳ δὲ συνῆπται
ὁ πνεύμων. καὶ αἱ τραχεῖαι ἀρτηρίαι μέσαι
σύν τοι τῷ πνεύμονος. τῆς γὰρ τραχείας ἀρτηρί-
τὸ μὲν χονδρῶδες, τῆς φωνῆς ἐστὶν ὄργανον.
οἱ δὲ ὑμενώδεις αὐτῆς δεσμοί, τῆς ἀναπνο-
ῆς. τὸ δὲ ἐξ ἀμφοτέρων τούτων, αὐτὴ γὰρ τῇ
ἑτέρᾳ φωνὴν ποιοῦντε ἅμα καὶ ἀναπνεῦσιν καὶ
ὄργανον. ἔστιν οὖν ὁ πνεύμων, πλέγμα σύ-
γκείμενον ἐκ τεσσάρων. ἔκ τε τῆς τραχείας ἀρ-
τηρίας καὶ τῆς λείας. καὶ φλεβός. καὶ τῆς ἀφρώ-
δους σαρκός. αὐτοῦ τοῦ πνεύμονος. ἡ τῆς σάρξ.
ἀναπνοὴν εἰσὶ δηλωτικῆς. τὰ μεταξὺ χωρ-
ίου πλέγματος. τῶν τε δύο ἀρτηριῶν καὶ τῆς
φλεβός. ὡς τούτων, ἐδέξατο αὐτὴν καὶ δεσμόν

γίνεσθαι. σύμπτωμα δὲ ἢ τὰ ἐκ τοῦ πνεύμο-
νος, φυσικῶς τὸ πνεῦμα, καθάπερ τὸ
ἧπαρ. τὸ γὰρ ἐκ τῆς κοιλίας χυμὸν. καὶ διὰ τοῦ τὸ
σῶμα περὶ τὸ ἧπαρ ἄπερ τις τοῖς ἄλλοις τοῖς τοῦ
περιέχει. τὴν γὰρ ἐκ θερμασίας διορμὴν ἄλλω
καὶ ὁ πνεύμων ὁμοίως περιλαμβάνει τὴν
καρδίαν. διὸ μὴ τῆς ἐκ τῆς ἀναπνοῆς περι-
ψύξεως. οὕτω ἀπολείπεται δὲ τὴν τραχεῖα ἀρτηρί-
α καλεῖται οὕτω ἐκ τοῦ. ὁ βρόγχος συγκείμενος ἐκ μι-
κρῶν τινῶν χονδρέων. τούτω δὲ ὁ φάρυγξ. ἀ-
τὸ στόμα. καὶ κεῖς διὰ ἀμφοτέρων γεγραμμένα
ξεωθεν τὸν ἀέρα. χωρὶς δὲ ἐν τοῦ διὰ τοῦ ἠθμο-
ειδοῦς ἢ σπογγοειδοῦς ὀστοῦ. ὅπερ καλεῖται ἠθ.
ἵνα καὶ τοῖς ὑπερβολαῖς τοῖς καὶ ὑποδοχεῖον τοῦ
ἀέρος. μηδὲ τὸ ἐμφραχθὲν βλάπτεται. ἀθρό-
ον τὸ πνεῦμα τὸ ἐμποιεῖ τῶν ἐξαστῶν. οὕτω
κεῖται δὲ ἐνταῦθα τὴν εἶναι. πρὸς τὴν ἀνα-

ποιῶν τὴν ὄσφρησιν ὁ δημιουργός, ὡς τῇ
γλώττῃ πρὸς τὴν φωνὴν καὶ τὴν γεῦσιν. καὶ
τὴν διαρμόσασιν. ταμεῖον· τῶν κινῶ ἐσώτατα μό-
ρια πρὸς τὴν ὕπαρξιν αὐτῶν καὶ πρὸς τὰς ἀ-
ναγκαίας τοῦ βίου χρείας, τῆς ψυχῆς καὶ σώ-
ματος διῃρημένη δύναμιν· ἀγγεῖα παρεχέτω τὰ,
ἐντὸς ἢ διαιρεθέντων. Λοιπὸν σῶμα ἔσται· ὥσπερ
δὲ πάντων τῶν γινομένων. ταμεῖον, δι' ἑαυτὸ γί-
γνεται· τὰ δέ, καὶ δι' ἑαυτὰ καὶ δι' ἕτερα· τὰ δέ, δι'
ἕτερα μόνον. τὰ δὲ καλοῦμεν ἐπικὸς παρὰ
φύσιν, ἅλω ἢ ἐπὶ τῶν μορίων ζῴου. τὴν αὐτὴν
ἀέρος ἀκολουθίαν. ταμεῖον γὰρ ἄρθρα πάν-
τα. τῶν τείων ἀρχῶν ὄργανα τῶν διοικουσῶν
τὸ ζῷον, δι' ἑαυτὰ γίγνεται. τοῦτο γὰρ προηγούμε-
νως καὶ κατὰ πρῶτον λόγον καλέσειεν ἄν. ἀεὶ
καὶ κατὰ φύσιν κινεῖ ὡς ἔχοντα. ὡς ἐν τῷ κινεῖται
ἐξ αὐτῶν ποιεῖ μὲν ὡς λαμβάνοντα τὴν γένεσιν.

ὡς εἰκὸς ὄντα. ἡ δὲ ξανθὴ χολή, ἢ δι' αὐ-
τὴν ἢ δι' ἄλλο. καὶ γὰρ πρὸς τοῦ ἥπατος ἐκκενοῦται
καὶ ἐν τῷ κυπρείῳ. καὶ γίνεται κατὰ τοῦτο
τε προσῆκον τὰ τοῦ θερμοτάτου ἐν τῷ μέσῳ. ὁμοίως,
ἀλλὰ καὶ θερμασίαν τινὰ παρέχει τῷ σώματι
καθαρωτέραν ἔχουσι τὴν δύναμιν. τούτων μὲν
οὖν ἕνεκα, δεῖ αὐτὴν διηθῆ γεγονέναι. τὸ
δὲ καθαρὸν τὸ αἷμα, διὰ τοῦ πρὸς διηθῆ
γεγονέναι, καὶ ὁ σπλὴν δὲ, ὃ μὴ κατὰ πρὸς τοῦ
ἥπατος συμβάλλεται. ἐξωθεῖ γὰρ ὅσον καὶ στρυφνὸν
τῶν φυσικῶν καὶ τῶν ἐπιμειξίων τοῦ παχυτέρου
χυμοῦ τοῦ μέλανος ἀπὸ τὴν γαστέρα πρὸς γὰρ σὸν
στυφθῆναι αὐτὴν καὶ τονοῦν. καὶ πρὸς τούτους τὰς δι-
γρα. πρὸς τούτοις δὲ καὶ καθαρὸν τὸ ἧπαρ. διὸ
καὶ αὐτὸς διηθῆ πρὸς τὸ αἷμα γεγονέναι; καὶ οἱ
νεφροὶ δέ. τοῦ τε αἵματος καθαρτικοὶ ὅσοι
αἴτιοι καὶ τῆς ὀρέξεως τῆς κατὰ τὴν ζωὴν οἱ ἂν αἴτιοι.

αἱ γὰρ φλέβες ἃς λέγομεν ἐμποιητικὰς τοὺς δι-
δύμους, διὰ τῶν νεφρῶν διεξέρχονται. κἀκεῖ-
θεν ἀρύονται δεῖματα τινὰ τὰ ἐρεθίζοντα τὴν
τὴν ὄρεξιν. ὥσπερ καὶ τὸν κνησμὸν ἡ δριμύ-
της ὑπὸ τὸ δέρμα γινομένη ποιεῖ. ὅσῳ δὲ τοῦ
διδύμων ἡ σὰρξ ἁπαλωτέρα τοῦ δέρματός ἐστι. το-
σούτῳ πλέον ὑπὸ τῆς δριμύτητος δακνόμενοι.
ἐμμανῆ ποιοῦσι τῆς συνουσίας τῆς γονῆς
τὴν ἐπιθυμίαν, ταῦτα μὲν οὖν καὶ τὰ ἐνταῦθα·
τέσσαρα τινὰ καὶ δι' αὐτὰ καὶ διαλλαγήν. οἱ δὲ
ἀδένες καὶ ἡ σάρξ, διαλλάττουσιν. οἱ μὲν γὰρ ἀ-
δένες, ὄχωμα καὶ στήριγμα τῶν ἀγγείων γεγόν-
ἵνα μὴ διαρραγῇ μετέωρα φερόμενα ἐν
ταῖς βιαίαις κινήσεσιν. ἡ δὲ σάρξ, σκέπας
παρέχουσα τῶν ἄλλων μορίων, ἵνα ἀνθέξειους
ἀναγκάζῃ τὴν ἐξωτερικὴν λίαν ἔξωθεν ἐμπίπτουσαν
καὶ χειμῶνος, τὴν τῶν ποικίλων ἀέρων αὐτοῖς πα-

ἐνέργειαν. καὶ τὸ δέρμα δέ. σκέπασμα μέγιστον
πάσης τῆς σαρκός. καὶ τῶν ἄλλων πάντων τῶν
ἔνδοθεν. ἐστὶ δὲ τὴν φύσιν σάρξ. ὅπερ τοῦτο ποιεῖ
ἔχοντες καὶ τῶν προσομιλούντων σωμάτων τὸ ψυχρὸν θερ-
σα. κατὰ ὅλα. σπέρμα τοῦ παντός ἐστι. καὶ μά-
λιστα ἡ σάρξ. τὸ καὶ λεπτότερον τοῦ ζῴου φαίνεται.
οἷον ὑμὴν δέ, καὶ κοινὴν μὲν πᾶσι τοῖς ἔχουσι πα-
ρέχοντα τὴν ἐνέργειαν τὴν τοῦ συναισθέσθαι. καὶ ἰδίαν δὲ
γρ πολλοῖς παρέχουσαν ἄλλην ἄλλῳ. πολλῶν μὲν τῶν ζῴων
ἀμυντήριον ἐδόθησαν. ὡς τοῖς γαμψώνυξι.
καὶ ἄλλοις ὥσπερ ὄργανον τοῦ θυμικοῦ. πολλοῖς δέ,
ἀμυντήριον καὶ σπέρμα ἀπαθῆ τῆς βάσεως. ὡς
τοῖς ἵπποις. καὶ παντὶ μώνυχι. καὶ ἀνθρώποις
δέ, οὐ μόνον πρὸς τὸ συναισθέσθαι καὶ διαφέρειν τὴν
θερμότητα τοῦ δέρματος, ἀλλὰ καὶ πρὸς τὴν τῶν
λεπτῶν ἀντίληψιν. τὸ γὰρ πάνυ λεπτά. διὰ τῶν
ἐπιπέδων, καὶ τοῖς ἄκροις δὲ τῶν δακτύλων ὁ

ποιόθεν ἀντιβαίνουσαν, ἐπείγουσι τὴν χρείαν αὐτῶν. αἱ δὲ τρίχες, κατὰ συμβεβηκὸς παρυπέστησαν. τῶν γὰρ ἀτμῶν τῶν καπνωδεστάτων τῶν ἀναπεμπομένων ἐκ τοῦ σώματος πρὸς ἕξιν τινὰ λαμβανόντων, κατὰ συμβεβηκὸς γίνονται. ὅθεν, ταύτας δὲ πάντως ἀτελεῖς ἐποίησεν ὁ δημιουργός. ἀλλὰ καὶ ταύτας κατὰ συμβεβηκὸς γενομένας. ἃς ὅμως ἐποίησε καὶ κάλλος, σωτηρίαν τοῖς ζώοις παρασκευάσας ἐπὶ πολύ, ἀξίαις περιβαλεῖς. κόσμον δὲ τοῖς ἀνθρώποις, πᾶσι δὲ ζώοις. κόσμον καὶ ἅμα σκέπην. ὡς τὸ λοιπόν τι·

## περὶ ἑκουσίου, καὶ ἀκουσίου.

ἐπειδὴ δὲ πολλάκις ἐμνημονεύσαμεν ἑκουσίου καὶ ἀκουσίου ἀνάγκη περὶ τούτων διελθεῖν. ἵνα τοὺς ἀκριβεῖς αὐτῶν γνόντες ὅρους μὴ διασφαλλώμεθα. δεῖ δὲ τοὺς μέλλοντας περὶ ἀκουσίου καὶ ἑκου-

οἷον λῃστὴν, προέλκειν ἐπικέσθαι κανόνας
τινάς. καὶ γνώμονας. διττοῦ γνωρίμου ὄντος.
τοῦ τε ἑκουσίου, τοῦ τε ἀκουσίου ἐστὶ τὸ γινόμενον
ὑπὸ τοιούτων παρὰ ἑκουσίου ἐν πράξει τινὶ ἐστί·
καιρὸν νομιζόμενον δὲ ἀκουσίου καὶ αὐτὸ ἐν
πράξει ἐστίν. διαχθήσεται τοῦτο μὲν τοῦ παχύ.
τινὲς δὲ καὶ τὸ ὄντως ἀκουσίου οὐ μόνον ἐν τῷ πα-
θεῖν, ἀλλὰ καὶ ἐν τῷ πράττειν τίθενται. ὅ εἰ-
πεν οὖν πρὸ τῶν ἄλλων. τί ἐστι πρᾶξις. πρᾶ-
ξίς ἐστιν ἐνέργεια λογική. ταῖς δὲ πράξεσιν.
ἔπαινος ἢ ψόγος ἕπεται. καὶ αἱ μὲν, αὐτῶν με-
θ' ἡδονῆς. αἱ δὲ, μετὰ λύπης πράττονται. τῶν
αἱ μὲν οὖν αἱρεταί. αἱ δὲ, καὶ φευκταί. τῶν πρα-
ττόντι. καὶ τῶν αἱρετῶν. αἱ μὲν, ἅμα αἱρεταί.
αἱ δὲ κατά τινα χρόνον. ὁμοίως δὲ καὶ τῶν φευκ-
τῶν. καὶ πάλιν αἱ μὲν, τῶν πράξεων ἐλεοῦνται.
αἱ δὲ μισοῦνται, καὶ κολάζονται. ἔστω δ' ἂν οὖν γνώμη

νες τοῦ μὲν ἑκουσίου. τὸ πάντως ἐπακολου-
θοῦν ἔπαινον ἢ ψόγον. καὶ τὸ μεθ' ἡδονῆς πρά-
ττεσθαι. καὶ τὸ ἀμεταμελὲς εἶναι τοῖς πράξας. τοῖς
πράττουσιν· ἢ ἄρα· ἢ ὁ τὸ πράττοντι. τοῦ
δὲ ἀκουσίου, γνώμονες. τὸ συγγνώμης ἢ ἐλέ-
ους ἀξιοῦσθαι, καὶ τὸ μετὰ λύπης πράττεσθαι. καὶ τὸ
μὴ εἶναι ἀμεταμελές. τούτων δὲ τῶν δύο εἰρημένων, γε-
νικώτερον ποιεῖ τοῦ ἀκουσίου.

## περὶ τοῦ ἀκουσίου.

Τοῦ ἀκουσίου. τὸ μὲν, κατὰ βίαν. τὸ δὲ, κατ'
ἄγνοιαν. ἔστι, τῷ ὄντι κατὰ βίαν ἀκούσι[ον]·
ἡ ποιητικὴ ἀρχὴ, ἔξωθεν οὖσα, ἀλλὰ μετὰ τῆς
βίας αἴτιον ἐστὶ καὶ οὐχ ἡμᾶς. ὃ ἐστὶ τῷ ὄντι τὸ κατὰ
βίαν ἀκουσίου ἐστίν. οὗ ἡ ἀρχὴ ἔξωθεν· μηδὲ
συμβαλλομένου κατ' οἰκείαν ὁρμὴν τοῦ βιασθέν-
τος. ἀρχὴ δὲ φημὶ ἐνταῦθα, ἡ ποιητικὴ αἰ-
τία. ζητεῖται δὲ εἰ τὰ τοιάδε ἀκούσιά ἐστιν. οἷον

αἱ ἀποβολαὶ τῶν φορτίων αἱ ποιοῦνται χειμῶνι
περιπεσοῦντες. ἢ τοῦ τοὺς ἀγαθοὺς περὶ χρήμα-
τα καταστῆναι παθεῖν ἢ πρᾶξαι ὑπὲρ τοῦ σώζειν
φίλους ἢ πατρίδα. τοιγαροῦν μᾶλλον εἶναι ἑκούσια.
διὰ τοῦτο γὰρ περισπᾶται τῷ ἔρω. τὸ μηδὲν συμβαλλο-
μένου καὶ τοῖς ἔρμαιον τοῦ βιασθέντος. ἐπεὶ γὰρ
τοῖς βιασταῖς ἑκόντες αὐτοὶ διὰ τῶν κινοῦσι τὰ
ὀργανικὰ μόρια. ἡ δὲ τῶν ἐπιπλεόντων ἀσθενῶν καλοῦσ
τὰ φορτία, ὁμοίως καὶ οἱ αἱροῦντες δαπανᾶν τι ὑ-
πομένοντες διαμάχονται κακόν. ὡς Ζήνων ὁ ἀποφα-
γὼν ἑαυτοῦ τὴν γλῶτταν καὶ ἀποπτύσας δόλου ὑπὸ
τῶν τυράννων. ὑπὲρ τοῦ μὴ δόλους ἐξαγορεῦσαι ἀ-
πόρρητα. ὁμοίως καὶ Ἀνάξαρχος ὁ φιλόσοφος ὑπο-
μείνας πτίσσεσθαι ὑπὸ Νικοκρέοντος τοῦ τυραν-
νου. ὑπὲρ τοῦ μὴ προδοῦναι τοὺς φίλους. καθό-
λου ὅταν ἢ διαφεύγων μειζόνων κακῶν ἐκλέγηται τὸ
κατορθοῦται. ἔλαττον κακόν. ὃ οὐκ ἔστιν ἄλλως κατορθῶσθαι.

οὐκ ἀκουσίου ὑφορμὴν πάθος ἢ πρᾶξιν.
πολλὰ γὰρ κατὰ προαίρεσιν ἢ κατ' ἐγχώρησιν. καὶ
τὸ λεγόμενον αἱρετόν. ὁ τῶν πραττομένων καθ' ἑαυ-
τὰ ἑκούσια αἱρεῖται. ἀκουσίων μὲν τούτων, ἐξ ἀκου-
σίου καὶ ἑκουσίου. ἀκουσίου μέν, καθ' ἑαυ-
τάς. ἑκουσίου δέ, τὸ κατὰ προαίρεσιν. ἀ-
νάγκη γὰρ προαιρέσεως. ὅπως ἄν, ἔστι ταῦτα
πρᾶξαι. δηλοῖ δὲ καὶ ἐπὶ τοῖς ἑαυτοῖς πρα-
ξεσι γινομένοις ἔπαινος ἢ ψόγος. ὁ δὲ ἑκουσια-
στόν. ἀκουσίων γὰρ ἔργων. ὅπως ἔπαινος ἢ
ψόγος ἔστιν, οὐκ ἄρα [illegible] τοῦ
ἀντιθέτου αἱρετέον. ὅθεν ὡς ἑκούσιον. τὸ
τοῦ ἀγαθοῦ αἱρεῖσθαι τὰ λυπηρά. ὡς ὅταν
[illegible]
[illegible]
τοῦ αἱρετοῦ, ἐπιθυμίας. [illegible].
[illegible]

ἔτι δὲ καὶ τοῦτο χαλεπόν ἐστι· τὸ ἐμμένειν
τοῖς δόξασιν. οὐ γὰρ ὁμοίως ἐπαχθῆ ἐστι τὰ δεινὰ
προσδοκώμενα καὶ τὰ παρόμενα· ἀλλ' ἐνίοτε κρί-
ναντες, ἐξιστάμεθα τῆς κρίσεως τοῖς δεινοῖς
ἡττώμενοι· ὡς καὶ ἐπὶ τινῶν συμβέβηκεν ἐν τῷ
μαρτυρεῖν. τὴν ἀρχὴν γὰρ καρτερήσαντες, περὶ
τὸ τέλος ἐνέδωκαν. ἔτι περὶ αὐτῶν χαλεπὸν ἀ-
ποφαίνεσθαι τοὺς μηδ' ἐς ἐγκλήματα τῆς ἀκολα-
σίας τὴν ἐπιθυμίαν· ἢ τὸν θυμόν· τῶν ἀκουσίων
ἄγειν πλημμελημάτων· ἐπειδὴ ταῦτα τὴν ἀρχὴν
ἔξωθεν ἔχει τὴν ποιητικήν. τὸ γὰρ κάλλος τῆς πόρ-
νης ἔξωθεν ὂν ἐπὶ τὴν ἀκολασίαν τὸν ἥττω κινεῖ.
καὶ ὁ παροξύνας ἐκίνησε τὸν θυμόν. φαμὲν καὶ τὴν
ἀρχὴν ἔξωθεν ἔχουσιν· ἀλλ' αὐτοὶ δι' αὐτῶν καὶ τῶν
ὀργανικῶν μορίων ἐνεργοῦσι· καὶ δὴ ἔξω τοῦ ἑκού-
σι, τῶν ὅρων τοῦ ἀκουσίου, ὅπου γε καὶ τῆς ἀρχῆς τὴν
αἰτίαν. ἐὰν αὐτοῖς παρέχονται· διαφανῶς ἀγνοεῖν·

πολλῶν πρακτῶν ἐκβίας ἀγανακτιζόμενοι· τὰ
γοῦν γοῦν οἱ τοιαῦτα πράττοντες· ὡς ἀκούσιον κα-
κὸν ὑπομένοντες· ὅτι δὲ ἑκουσίως ἐστὶν δῆλον·
ἤθελον γὰρ ἐπὶ τῷ πρᾶξαι. τὸ δὲ ἀκούσιον· λύπην
ἐπάγει. περὶ μὲν οὖν τοῦ ἀκουσίου τοῦ βίᾳ, ταῦτα.
περὶ δὲ τοῦ δι' ἄγνοιαν, ἄρτι ὑπολέλειπται·

περὶ τοῦ δι' ἄγνοιαν ἀκουσίου·

Πολλὰ πράττομεν δι' ἄγνοιαν· ἐφ' οἷς μὴ τελείως πρᾶ-
ξιν λαμβάνομεν· ὥσπερ ὅταν τις ἀγνοῶν μὲν ἡ χεῖρον σκευά-
σῃ· λάβῃ δὲ ἐπὶ τῷ φόνῳ· ταῦτα οὖν ἐπ' ἄλλ' αὖ τὰ
καλοῦσιν, ἢ πάλιν πράττομέν τινα δι' ἄγνοιαν· καὶ
ἐπὶ τοῖς γενομένοις λυπούμεθα· ταῦτα καλεῖ-
ται ἀκούσια· ὅσοις πραχθεῖσιν παρακολουθεῖ
λύπη· τὸ δὲ δι' ἄγνοιαν, διττόν ἐστιν ἤδη· τὸ
μὲν τὸ οὐχ ἑκούσιον· ἕτερον δὲ τὸ ἀκούσιον· πρό-
κειται δὲ νῦν ἡμῖν περὶ μόνου τοῦ ἀκουσίου. τὸ
γὰρ οὐχ ἑκούσιον· τοῖς ἀκουσίοις μᾶλλον ὑπάγεται

μὴ ἐνὸν ὑπάρχον. τὸ μὲν γὰρ ἀρχὴν ἀκούσιον
ἔχει. τὸ δὲ τέλος, ἑκούσιον· ἐξ ὑποθέσεως
γὰρ ἑκούσιον γίνεται τὸ ἀκούσιον. διὸ καὶ ἄλλως
ὁρίζονται τὸ ἀκούσιον. ἀκούσιόν ἐστι, τὸ πρὸς
τῷ μὴ ἑκούσιον εἶναι, ἐπίλυπόν ἐστι. καὶ ἐμμε-
ταμελείᾳ πάλιν. ἄλλο μέν ἐστι δι' ἄγνοιαν τι πράττειν
ἄλλο δὲ ἀγνοοῦντα. ἐὰν γὰρ ἐφ' ἡμῖν ᾖ τῆς ἀγνοί-
ας τὸ αἴτιον. ἀγνοοῦντες μὲν ποιοῦμεν. οὐ δι' ἄγνοιαν
δέ, ὁ γὰρ μεθύσκων. ἢ θυμούμενος ἢ τοιοῦτόν τι ἄλ-
γρ. λον. ὁ μὲν τὸ μεθύειν, ὁ δὲ τὸ ὀργίζεσθαι αἰτίαν ἔχει
τῶν τοῦ ὑπὸ ταῦτα γίνεσθαι, ἀπορούμενα ἑκούσια. ἐ-
ξὸν γὰρ αὐτῷ μὴ μεθυσθῆναι. αὐτὸς οὖν καὶ
τῷ γέγονε τῆς ἀγνοίας αἴτιος. τὸ τοιοῦτον οὐ δι' ἄ-
γνοιαν λέγεται ποιεῖν. ἀλλ' ἀγνοοῦντα πράττειν.
γρ. ἀπορούμενα οὐκ ἔστιν ἀκούσια ἀλλ' ἑκούσια, διὸ καὶ
ψέγονται ψέγεται παρὰ τῶν χρηστῶν οἱ τοιοῦτοι πράττοντες. ἢ
γὰρ μὴ ἐμεθύσθη, ἢ οὐκ ἐποίησε. ἑκὼν δὲ

ἐμεθύσθη. ἑκὼν ἄρα ταῦτα ἐποίησε δι' ἀγνοι-
δὲ ταῦτα πεπραγμένα. ὅτι μὴ αὐτοὶ παρέχο-
μεν τὴν αἰτίαν τῆς ἀγνοίας. ἀλλ' οὕτως συνέβη.
οἷον ἐν τῷ ἐμπεσεῖν τοῖς τόποις ἢ θαλάσσαις ξένων. τὰ
περὶ πατρίους τὰ κατὰ τὴν γλῶτταν βαρβάρων, ἀφικνεῖται.
ἐκ τῶν ἐρημωμένων ζῴων ἀποδημοῦντας. ὁ τοιοῦτος
ἀγνοῶν τὰ συμφέροντα. οὐδὲν ὁμοῦ μείζων ἅμα
τὰ ἐφ' αὑτὰ λέγεται. παθολογικὸς οἷον ὑπομένει.
τῆς γὰρ αὐτοῦ μοχθηρίας ἐστὶν ἡ ἄγνοια. ψέγεται
γοῦν ὁ τοιοῦτος. τῶν δὲ ἑκουσίων ὁ ψόγος. οὐ παρὰ
τῶν καθόλου ἢ ἰδικῶν. ἢ τῶν κατὰ προαίρεσιν.
ἀκούσιός ἐστιν ἡ ἄγνοια, ἀλλὰ τῶν ἐν μέρει.
τῶν μὲν γὰρ καθέκαστα. ἀγνοοῦντες τὰ δὲ καθόλου. ἑ-
κόντες ἀγνοοῦμεν τούτων ἀπολωλεισμένων,
ἑξῆς ἐπιλέγει περὶ ἐστὶ τὰ καθέκαστα τῶν τε δὲ ἐστίν.
ἅπαντα τὰ παρὰ τοῖς ῥήτορσι περιστατικὰ μό-
ρια τίς. τίνα. τί τίνι. ποῦ. πότε. πῶς. διὰ τί.

οἷον πρόσωπον πρᾶγμα· ὄργανον· τόπος·
χρόνος· τρόπος· αἰτία· πρόσωπον μὲν τὸ
ποιοῦν· ἢ περὶ τίνα ἡ πρᾶξις· οἷον· ὁ πρᾷ-
ος καὶ τὸν πλησίον ἀγνοῶν· πρᾶγμα δὲ· αὐτὸ
τὸ πραχθέν· ἀκοντίζειν θέλων τὸ ἐσφαιρῶσθαι· ὄρ-
γανον δέ· λίθον ἢ κίσηριν νομίσας [illegible]
[illegible]· τόπος δὲ ἀσελγῶς [illegible] συνουσιάσαν· ἐ-
κεῖ ὅτι ἀγνοῶν τὸν ἀπαντήσαντα· χρόνος
δέ· ἀγνοῶν ἐν νυκτὶ νομίσας πολέμιον τὸν φίλον· ἐ-
φόνευσε· τρόπος δέ· ὁ πλήξας ἠρέμα ἐπεὶ μὲν
σφοδρῶς ἐφόνευσεν· ἠγνόει γὰρ τὰς πληγὰς ἢ
ἠρέμα τυχοῦσας· αἰτία δέ· φάρμακον ἔδωκε
φάρμακον ὡς ὑγιάζον· ἀπέθανε δὲ ὁ
πάσχων· τὸ φάρμακον ἀναιρετικὸν ὄν, μαινομέ-
νον τοῖς ἀγνοήσασιν· ὅσα δὲ τὰ [illegible] τούτων
ἢ τὰ [illegible] δὲ ἐστὶν ἐν τούτοις· τοῦ ἐ-
ν [illegible] τὸ προαιρούμενον· τούτοις ἡ αἰτία

καὶ τὸ πρᾶγμα.

## Περὶ ἑκουσίου.

Τοῦ ἀκουσίου ὄντος διττοῦ· τοῦ μὲν δι' ἄγνοιαν, τοῦ δὲ κατὰ βίαν· τὸ ἑκούσιον ἀμφοτέροις ἀντίκειται· ἐστὶ γὰρ τὸ μήτε βίᾳ, μήτε δι' ἄγνοιαν γινόμενον· καὶ ἐκεῖνο βίαιον μέν, οὗ ἡ ἀρχὴ ἔξω αὐτοῖς. δι' ἄγνοιαν δέ, ὅταν μὴ τῶν καθ' ἕκαστα τί ᾖ ἀγνοούμενον δι' ὧν ἢ ἐν οἷς ἡ πρᾶξις. τὸ ἐναντίον τούτων ἑκατέρου· ὁριζόμεθα τὸ ἑκούσιον· οὗ ἡ ἀρχὴ ἐν αὐτῷ εἰδότι τὰ καθ' ἕκαστα ἐν οἷς ἡ πρᾶξις. ζητητέον εἰ τὰ κατὰ φύσιν γινόμενα ἑκούσιά ἐστιν. οἷον ἡ θρέψις καὶ αὔξησις. δηλονότι δὲ ταῦτα μήτε ἑκούσια μήτε ἀκούσια. τὸ γὰρ ἑκούσιον καὶ ἀκούσιον ἐν τοῖς ἐφ' ἡμῖν ἐστίν, ἡ δὲ θρέψις καὶ αὔξησις οὐκ ἐφ' ἡμῖν. ὅθεν κἂν τὰ καθ' ἕκαστα μὲν ἀγνοούμενα τῶν μὴ ἐφ' ἡμῖν αὐτὰ εἶναι, οὔτε ἑκούσιά ἐστιν οὔτε ἀκούσια. τὸ δὲ [illegible]

καὶ ἐπιθυμίᾳ· ἡ δ' ἀγνοίᾳ ἀκούσια· καὶ γὰρ κατορ-
θούμενα ἐπαινεῖται· καὶ ἁμαρτανόμενα
ψέγεται ἢ μὴ ἔστω· καὶ ἡδονὴ καὶ λύπη αὐτοῖς
ἐπακολουθεῖ· καὶ ἡ ἀρχὴ ἐν αὐτοῖς ἐστιν· ἐν
αὐτοῖς γὰρ ἦν τὸ μὴ ὑπὸ τοῦ πάθους ἑκουσίως ἁ-
λίσκεσθαι· διὰ γὰρ τῶν ἐθῶν τοιαῦτα καθε-
θοῦται· ἄλλως τε καὶ τὰ ἀκούσια· οὐδὲ
τῶν ἀλόγων ζώων ἑκουσίως τι πράττεται· ἀλ-
λ' οὐ διὰ τὸ ἐπιθυμίᾳ· νῦν δὲ τὸ δ' χρόνος ἔχει· ὁ
ἐρῶμεν γὰρ ἀκουσίως αὐτὰ ἐπὶ τῶν τεσσάρων
ἐρχόμενα· καὶ τὰ διὰ βίαν αὐτὰ γὰρ ἔστι τὰ δὲ
αἰτίῳ ὁρμῶνται· τὰ δὲ δι' ἀγνοίαν τά· τῶν γὰρ
τεσσάρων ἢ ἀγνοεῖ· θεωρητικὴν αὐτὰ γὰρ τῶν τεσσάρων·
ἢ δῆλον, καὶ ὡς ἐπὶ πράγματι γινώσκειν ὁρμᾶ·
καὶ ἀπὸ τοῦ ζητοῦντος τὰ λυπηρά· ἀκουσίου διαγνω-
σίμους· ἐπὶ τοῦ ζητοῦντος μὲν ἡδονή· ἀπὸ
τοῦ γὰρ ἀγνοοῦντος δ' ἀλγεῖται· ἐξ ὧν δῆλον ὡς ε-

κούσιον ἂν εἴη τὸ διὰ θυμόν· καὶ τὸ ἐνθύμιον· καὶ γὰρ ὁ θυμὸς μεθ' ἡδονῆς γίνεται· καὶ ἄλλως ἐν αὐτοῖς διὰ θυμὸν καὶ ἐπιθυμίαν ἑκούσια μὴ λέγῃ, ἀναιρεῖ τὰς ἠθικὰς ἀρετάς. ἐν μεσότητι γὰρ αὗται τῶν παθῶν εἰσίν· ὥστ' εἰ ἀκούσια τὰ πάθη, ἀκούσιαι καὶ αἱ πράξεις αἱ κατὰ τὰς ἀρετάς. καὶ γὰρ αὗται κατὰ τὸ πάθος γίνονται. ὅσα δὲ τὰ κατὰ λογισμὸν καὶ προαίρεσιν καὶ κατὰ διάνοιαν ὁρμῶντα καὶ ἃ φρονοῦμεν μετὰ τοῦ γνωρίζειν τὰ καθήκοντα· ἑκούσια, οἷον χρή· ὅθεν γὰρ ἡ ἀρχὴ ἐν αὐτοῖς, ἑκούσια ἄρα. ἐπειδὴ δὲ πολλαχοῦ τῆς προαιρέσεως ὡς ἐμνημονεύσαμεν ἢ τῆς ὑφ' ἡμῶν, λεκτέον καὶ περὶ προαιρέσεως.

## περὶ προαιρέσεως.

Ποῖα ἐστὶν ἡ προαίρεσις. ἆρα τὸ ἑκούσιον ἐπειδὴ πᾶν τὸ κατὰ προαίρεσιν καὶ ἑκού

σιον ἐστίν, ἀλλ' οὐ πάντη ταὐτά· ὅπερ ἐλέγετο
αὐτ. ἀλλὰ τοῦτο τὸ ἑκούσιον καὶ προαιρετοῖς· νῦν
δέ· ἐπὶ πλέον διήκει μὲν τὸ ἑκούσιον· πάντα
μὲν γὰρ προαιρετὰ ἑκούσια. οὐ πᾶν δὲ τὸ
ἑκούσιον προαιρετόν. καὶ γὰρ τὰ παιδία καὶ τὰ ἄλογα·
ἑκουσίως μὲν πράττει· οὐ μὴν καὶ προαιρούμενα· καὶ ὅσα δὲ
ἀθρόον πράττομεν μὴ προβουλευσάμενοι.
ταῦτα ἑκουσίως μὲν πράττομεν· οὐ μὴν κατὰ προαίρε-
σιν. ἀλλὰ καὶ ὁ φίλος ἡμῶν ἐξαίφνης ἐπιστάς· ἑκου-
σίως μὲν ἀσπάζεσθαι· οὐ μὴν προῃρημένως· καὶ ὅθεν
ταῦρ' αὐτοῖς δοκεῖ τοῖς κυρίων· ἑκουσίως μὲν ἐρ-
μᾶς αὐτοπαρευτύχεν· οὐ προαιρούμενος δέ. ἐν
πάντων οὖν ζητουμένων τὸ μὴ ταὐτὸν εἶναι τὸ ἑκούσιον
τῷ προαιρετῷ. ἀφ' οὗ ὄρεξίς ἐστιν ἡ προαίρεσις.
ἀλλ' οὐδὲ τοῦτο. διαιρεῖται γὰρ ἡ ὄρεξις ἀστεία· εἰς
ἐπιθυμίαν· καὶ θυμόν· καὶ βούλησιν· ἀλλ' ὅτι μὲν οὔτε
θυμὸς οὔτε ἐπιθυμία ἐστὶν ἡ προαίρεσις· φανερὸν ἐκ

τὸ μὴ εἶναι κοινωνίαν τοῖς ἀνθρώποις πρὸς τὰ
ἄλογα κατὰ προαίρεσιν· ἀλλὰ κατὰ ἐπιθυμίαν καὶ
θυμόν· ἄμφω γὰρ κατὰ ταῦτα μὲν κοινωνοῦμεν αὐτοῖς·
κατὰ προαίρεσιν δὲ διαφέρομεν. δῆλον ὡς
ἄλλο μέν τι προαίρεσις· ἄλλο δὲ θυμὸς καὶ ἐπιθυμία·
ἔτι καὶ ὅτι ὁ μὲν ἀκρατὴς κρατούμενος μὲν ὑπὸ
τῆς ἐπιθυμίας καὶ πράττων ταῦτα· μὴ μέντοι
καὶ κατὰ προαίρεσιν· ἀντιβαίνει γὰρ ἐπὶ πολλῶν ἡ
προαίρεσις τῇ ἐπιθυμίᾳ· ἃ δὴ τελεῖν οὐ
κυριαρχοῦντο. καὶ ὁ ἐγκρατὴς δὲ πράττων κατὰ προ-
αίρεσιν· οὐ πράττει κατ᾽ ἐπιθυμίαν. ὅτι δὲ οὐδὲ
βούλησίς ἐστιν ἡ προαίρεσις· δῆλον ἐντεῦθεν.
ὅπερ ἐστὶν οἷς ἁρμόζει τὸ προαιρεῖσθαι, τούτοις ἁρ-
μόζει καὶ τὸ βούλεσθαι. φαμὲν γὰρ βούλεσθαι ὑγιαίνειν.
οὐδεὶς ἂν εἴποι· καὶ βούλεσθαι πλουτεῖν. οὐκ ἔτι
δὲ καὶ προαιρεῖσθαι πλουτεῖν λέγομεν. ἔτι τὸ μὲν
βούλεσθαι, καὶ ἐπὶ τῶν ἀδυνάτων λέγεσθαι· τὸ δὲ ται

προαιρεῖσθαι· ἢ περὶ μόνων τῶν ἐφ' ἡμῖν. δῆλο-
ν οὖν φανερόν· βούλομαι ἀθάνατος γενέσθαι·
προαιροῦμαι δὲ ἀθάνατος γενέσθαι· οὐ φαμέν,
ἡ μὲν γὰρ βούλησις τοῦ τέλους ἐστίν· ἡ προαίρε-
σις δὲ, τῶν πρὸς τὸ τέλος καὶ ταύτῃ αὐτῷ ἀναλο-
γίαν ἔχει τὸ βουλητόν· πρὸς τὸ βουλευτόν· βου-
λόμεθα γὰρ τὸ τέλος· βουλευόμεθα δὲ τὰ πρὸς τὸ
τέλος· ἢ τί ταῦτα μόνα προαιρούμεθα, δι' ἃ
δι' ἡμῶν οἴονται γενέσθαι ὡς τὸ νικῆσαι τινὰ στρα-
τηγόν· ὅτι μὲν οὖν οὔτε θυμός· οὔτε ἐπιθυμία.
ἔτι δὲ βούλησίς ἐστιν ἡ προαίρεσις αὐτάρκως
ἀποδέδεικται· ὅτι δὲ οὐδὲ δόξα, δῆλον γίνεται.
καὶ διὰ τῶν αὐτῶν ἀποδείξεων· ἢ δι' ἑτέρων· ἡ
γὰρ δόξα οὐ μόνον τῶν ἐφ' ἡμῖν· ἀλλὰ καὶ τῶν ἀιδίων
ἔτι δόξαν μὲν ἀληθῆ λέγομεν ἢ ψευδῆ· προαίρε-
σιν δὲ οὐ λέγομεν· ἀληθῆ ἢ ψευδῆ· καὶ ἡ μὲν δό-
ξα. τῶν καθόλου· ἡ δὲ προαίρεσις, τῶν καθ' ἕκα-

σι· περὶ γὰρ τῶν τελικῶν ἡ προαίρεσις. ταῦτα
δὲ τὰ καθήκοντα· ἀλλ' οὐδὲ βούλευσίς ἐστιν ἡ προ-
αίρεσις, οἷον βουλή. βούλευσις μὲν γάρ ἐστι ζήτη-
σις περὶ τῶν αὐτῶν τελικῶν προαιρετῶν. τὸ
ἐντεῦθεν βουλῆς προκεῖσθαι. δῆλον οὖν ὅτι ἡ μὲν
βούλευσις ἐπὶ τοῖς ζητουμένοις· ἡ δὲ προ-
αίρεσις ἐπὶ τοῖς ἤδη προκεκριμένοις. τί μὲν
οὖν οὐκ ἔστιν ἡ προαίρεσις εἴρηται, τί δέ ἐστιν
εἴπωμεν· ἔστιν οὖν μικτόν τι ἐκ βουλῆς καὶ σκέψεως
καὶ ὀρέξεως· καὶ οὔτε ὄρεξις καθ' αὑτήν, οὔτε
βουλὴ μόνη, ἀλλ' ἐκ τούτων συγκειμένη. ὡς
γὰρ λέγομεν τὸ ζῶον ἐκ ψυχῆς καὶ σώματος συγκεῖ-
σθαι· μήτε δὲ σῶμα εἶναι καθ' αὑτὸ τὸ ζῶον, μή-
τε ψυχὴν μόνην, ἀλλὰ τὸ συναμφότερον· οὕτω
καὶ τὴν προαίρεσιν. ὅτι μὲν οὖν βουλή τίς ἐστι καὶ
βούλευσις μετά τινος καὶ σκέψεως· ὅτι μὲν αὖ καὶ μὴ καὶ
αὐτοβούλου· φανερὸν ἐντεῦθεν ἐκ τοῦ μόνου· προ-

αἱρετὸν γράφει. τὸ τέλειον περὶ ἧς τελικὸν αἱρετέον.
ἐνδεῖ δὲ προοιμιαστικὴ τί μὴ βουλευσάμενος.
ἔστι φέρεται μηνύειν. καὶ τοῦτο διὰ τοῦ πάντα δόξαν-
τα ἡμῖν καὶ ἔχειν ἀφορμὴν ἀλλ' ἢν προαιρούμεθα.
τό τε προαιρετὸν καὶ προαιρετὸν γίνεται τὸ προ-
κειμένου τῆς βουλῆς. ὅταν προσγένηται ὄρε-
ξιν ἀναγκαίως. ὥστε προαιρετοῖς περὶ τῶν τα-
κτῶν, περὶ ἃ καὶ ἡ βουλή. λείπεται δὲ τὰ
τούτων. προαίρεσιν εἶναι ὄρεξιν βουλευτικὴν
τῶν ἐφ' ἡμῖν, ἢ βουλευτικὴν ὄρεξιν τῶν
ἐφ' ἡμῖν. τοῦ γὰρ προκειμένου τῆς βουλῆς
ἐφιέμεθα προαιρούμενοι. καὶ τοῦτο διὰ τῶν προαιρέ-
σεων ἐστὶ περὶ τῶν τελῶν εἶναι. περὶ ἃ καὶ ἡ βουλή,
διὰ τὸ φάσκειν περὶ τὰ καθ' ἕκαστα γίνεται ἡ βουλή.
καὶ περὶ τίνων βουλευόμεθα :

περὶ τίνων βουλόμεθα :

ἀπορ Πότερον δὲ περὶ τίνων βουλευόμεθα. βέλτιον δ'

οἴεται. τίνι διαφέρει βουλὴ ζητήσεως. οὐ
γὰρ ταὐτόν ἐστι βουλὴ καὶ ζήτησις· ἢ καὶ ὁ [illegible]
ζητοῦντί τι βουλεύονται. ἀλλ᾽ ὁπόσον διαφέρει. ζη-
τοῦμεν γὰρ εἰ μείζων ἐστὶ τῆς γῆς ὁ ἥλιος· οὐδεὶς δὲ
λέγει βουλεύομαι εἰ μείζων ἐστὶ τῆς γῆς ὁ ἥλιος.
ἐστὶ γὰρ ζήτησις γένος τῆς βουλῆς. καὶ γὰρ ἐπὶ πολ-
λῶν λέγεται. πᾶσα μὲν γὰρ βουλὴ ζήτησίς ἐστιν. οὐ
πᾶσα δὲ ζήτησις βουλή. διαφέρει δὲ τὸ βου-
τοῦ σκέπτεσθαι. τὸ μὲν ἐπὶ τοῦ βουλεύεσθαι
λεγόμενον· ὡς σκέπτομαι εἰ δεῖ πλεῦσαι. τὸ δὲ
ἐπὶ τοῦ κατανοεῖν· ὡς σκέπτομαι τὰ μαθή-
ματα, ἀντὶ βούλομαι τὰ μαθήματα. παραχρώ-
μεθα δὲ πολλάκις ἀδιαφόρως ἀποδόντες τῶν
ὀνομάτων, νομίζοντες ταὐτὸ τὸ μὴ ταὐτό. τῆς
οὖν διαφορᾶς τούτων φανερῶς γινομένης. ζητέ-
ον λοιπὸν περὶ τίνων βουλευόμεθα. βουλευόμεθα οὖν
περὶ τῶν ἐφ᾽ ἡμῖν καὶ δι᾽ ἡμῶν δυναμένων γενέσθαι. καὶ ἀ-

συμβαινόντων τὸ τέλος· τουτέστι συμβαίνει ἢ ἄλλως
καὶ ἄλλως γενέσθαι. τὸ μὲν οὖν ἐφ' ἡμῖν ἀφείσθω· ἐπεὶ
περὶ τῶν πρακτῶν μόνων βουλευόμεθα· ταῦτα γὰρ
ἐφ' ἡμῖν. οὐ γὰρ περὶ τῆς θεωρητικῆς καλουμένης
φιλοσοφίας βουλευόμεθα. ἔστι γὰρ περὶ θεοῦ. ἔστι
περὶ τῶν ἐξ ἀνάγκης γινομένων· ἐξ ἀνάγκης
δὲ λέγω, τὰ ἀεὶ ὡσαύτως γινόμενα, οἷον
τοὺς κυκλικοὺς ἐνιαυτούς. ἔστι περὶ τῶν οὐ κατὰ
μὲν ὄντων, ἀφ' ὁμοίων γινομένων δέ, οἷον τροπαὶ ἢ
ἀνατολαὶ ἡλίου. ἔστι περὶ τῶν φύσει μέν, οὐ
κατὰ τὸ ὁμοίως γινομένων, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον,
οἷον περὶ τοῦ πολιοῦσθαι τὸν ἑξηκοντούτην, ἢ
γηράσκειν τὸν ἑβδομηκοντούτη. ἀλλ' οὐδὲ περὶ τῶν
φύσει μέν, ἄλλοτε δὲ ἄλλως ἀορίστως γινομένων,
οἷον περὶ ὄμβρων, ἢ αὐχμῶν, ἢ χαλάζης. ἀλλ'
οὐδὲ περὶ τῶν ἀπὸ τύχης γίνεσθαι λεγομένων.
ἅπερ ἐστὶ τῶν ἐπ' ἔλαττον ἐνδεχομένων. διὰ

ταῦτα γὰρ μόνα ἐστὶ τὰ ἐφ' ἡμῖν ἀρετή. τὸ δὲ δι' ἡμῶν
καὶ ἐπὶ δὴ περὶ οὐ περὶ πάντων ἀνθρώπων. οὐ-
δὲ περὶ πάντα τὰ πράγματα βουλευόμεθα,
πῶς οἱ πόλεμοι. ἢ ἡ Μακεδονία ἡμῶν ἀποικισμέ-
νοι καλῶς πολιτεύονται. καὶ τοῦτο τοῖς παρ' ἐκείνοις.
βουλευτόν ἐστιν. ἀλλ' οὐδὲ περὶ πάντων τῶν δι' ἡ-
μῶν γινομένων, ἢ ἐφ' ἡμῖν ὄντων βουλευόμεθα·
ἀλλὰ δεῖ προσκεῖσθαι. καὶ τὸ ἄδηλον ἔχοντα τὸ τέλος.
κἂν γὰρ ᾖ φανερὸν καὶ ὁμολογούμενον. οὐκ ἔτι
βουλευόμεθα. ὅτι γὰρ περὶ τὰς τῶν κατ' ἐπι-
στήμην ἢ τέχνην ἔργων. ἢ πράξεων ἡ βουλή. ὧν
εἰσὶ μέθοδοι γὰρ τούτων οἱ λόγοι. πλὴν ὀλίγων τεχνῶν
τῶν καλουμένων στοχαστικῶν. οἷον ἰατρικῆς, καὶ
γυμναστικῆς, καὶ κυβερνητικῆς. οὐ περὶ τούτων
γὰρ βουλευόμεθα μόνον, ἀλλὰ περὶ τῶν ἐφ' ἡ-
μῖν μὲν καὶ δι' ἡμῶν. ἄδηλον δὲ τὸ τέλος ἐχόντων. καὶ
δυναμένων καὶ οὕτως καὶ ἄλλως παραχθῆναι. ἔστι γὰρ

δέ· ὥς οὐδὲ περὶ τοῦ τέλους· ἀλλὰ περὶ τῶν
πρὸς τὸ τέλος ἡ βουλ(ή)· βουλόμεθα γὰρ οὐ πλουτῆ-
σαι· ἀλλ' ὅπως ἂν διὰ τῶν πλουτήσωμεν· ζητοῦμεν καὶ ὅ-
λως δὲ εἰπεῖν· περὶ τούτων μόνον βουλευόμεθα· περὶ
τῶν ἐπίσης ἐνδεχομένων· καὶ περὶ τούτου δὲ δια-
λαβεῖν· ἵνα μὴ δόξῃ λέγειν ἐπὶ τῷ λόγῳ προσαφῆναι· δύ-
ναμεις ἔχομεν τινάς· καθ' ἃς δυνάμεθα τὶ ποιεῖν· παν-
τὸς γὰρ οὐ ποιοῦμεν δύναμιν ἔχομεν· ὧν δὲ δύναμιν οὐκ
ἔχομεν· τούτων οὐδὲ τὰς πράξεις· ἔχει τοίνυν ἡ μὲν
πρᾶξις, δυνάμεως· ἡ δὲ δύναμις, οὐσίας·
ἥ τε γὰρ ἡ πρᾶξις ἀπὸ δυνάμεως· καὶ ἡ δύναμις ἀπὸ
τῆς οὐσίας· καὶ ἐν οὐσίᾳ, τρία ταῦτα ἐστὶν ὥσπερ ἔφα-
μεν ἀλλήλων ἐχόμενα· δυνάμενος, δύναμις, δυνα-
τόν· δυνάμενον μὲν οὖν οὐσία· δύναμις δὲ ἀφ' ἧς
ἔχομαι τὸ δύνασθαι· δυνατὸν δὲ, τὸ κατὰ δύνα-
μιν πεφυκὸς γίνεσθαι· τῶν δὲ δυνατῶν, τὰ
μὲν ἐστὶν ἀναγκαῖα· τὰ δὲ ἐνδεχόμενα· ἀνα-

μέν· ἅπερ ἀδύνατον καὶ χωρισθῆναι· ἢ οὗ καὶ τὸ
ἀντικείμενον ἀδύνατόν ἐστιν· ἐνδεχόμενον δὲ,
τὸ δυνάμενον καὶ χωρισθῆναι· ἢ οὗ καὶ τὸ ἀντικεί-
μενον δυνατόν ἐστιν, οἷον ἀναγκαῖόν ἐστιν· ἀνα-
πνεῖν ἄνθρωπον ζῶντα, τούτου καὶ τὸ ἀντικεί-
μενον ἀδύνατόν ἐστι· τὸ μὴ ἀναπνεῖν ζῶντα·
ἐνδεχόμενον δὲ, τὸ σήμερον ὄμβρον γενέσθαι· ἀλλὰ
καὶ τὸ ἀντικείμενον αὐτῷ δυνατόν· τὸ μὴ γενέσθαι
σήμερον ὄμβρον· πάλιν δὲ τοῦ ἐνδεχομένου, τὸ
μέν· ὡς ἐπὶ τὸ πολὺ λέγεται· τὸ δέ, ὡς ἐπ' ἔλαττον·
τὸ δέ, ὡς ἐπίσης· ἐπὶ τὸ πολὺ μέν, ὡς τὸν ἑξηκον-
τούτην πολιοῦσθαι· ἐπ' ἔλαττον δέ, ὡς τινὰ ἑξηκοντα-
έτη μὴ πολιοῦσθαι· ἐπίσης δὲ τὸ περιπατῆσαι· καὶ
ἁπλῶς πρᾶξαί τι καὶ μὴ πρᾶξαι· περὶ τούτων οὖν τῶν
ἐπίσης ἐνδεχομένων βουλευόμεθα· ἔστι δὲ ἐπίσης ἐν-
δεχόμενον, ὃ αὐτοί τε δυνάμεθα· καὶ τὸ ἀντικείμενον
αὐτῷ· εἰ γὰρ μὴ ἀμφότερα ἐδυνάμεθα αὐτοί τε καὶ τὸ

ἀντικείμενον· ὃ συναίνει βουλόμενοι· ὅταν γὰρ περὶ
τῶν ὁμολογουμένων· ὅταν περὶ τῶν ἀδήλων τῶν
τις βούληται· ἢ τοῦ ἐκλεγομένου τοῦ ἀντικειμένου
ἐπισκεψώμεθα· τοῦ τὸ μὲν τοῦ ὁμολογουμένου·
ἢ τοῦ ἀμφοτέρως ἀμφιβόλου· τὸ δὲ ἀντικείμενον· ἀ-
δύνατον ·· —

## περὶ τῆς διὰ τῶν ἀστέρων εἱμαρμένης :

Τὴν περιφορὰν τῶν ἀστέρων· τὴν αἰτίαν τῶν γινομένων
πάντων εἶναι τιθέντες· οὐ μόνον ταῖς κοιναῖς ἐννοί-
αις προσμάχονται· ἀλλὰ καὶ πᾶσαν πολιτείαν· ἄχρη-
στον ἀποφαίνουσιν· ἄτοποι μὲν γὰρ οἱ νόμοι· περί-
πλεῖστα δὲ τὰ δικαστήρια κολάζοντα τοὺς μηδὲν αἰ-
τίους. παρέχονται δὲ οἱ ψῆφοι καὶ οἱ ἔπαινοι· ἀνόη-
τοι δὲ καὶ εὐχαί, πάντων καθ᾽ εἱμαρμένην γινομέ-
νων· ἐξορίζεται δὲ καὶ πρὸ πάντων ἡ εὐσέβεια· πρὸς
τῷ καὶ τὸν θεὸν ὄργανον εἰσάγεσθαι τῆς ἄνωθεν περι-
φορᾶς· ὑπὸ ταύτης γὰρ κινεῖσθαι πρὸς τὰς πράξεις· ὅ

μόνον τὰ μέρη τοῦ σώματος, ἀλλὰ καὶ τὰ τῆς ψυχῆς δι-
ανοήματα. καὶ ὅλως οἱ ταῦτα λέγοντες τὸ ἐφ᾿ ἡμῖν
ζῆν ἀναιροῦσι καὶ τὴν τοῦ ἐνδεχομένου φύσιν κατ᾿ αὐ-
τοὺς οὐδὲν ἄλλο· ἢ τὸ παντὶ λυμαίνονται. ἄδικοι δέ,
καὶ αὐτοὶ οἱ ἀστέρες. τοὺς μὲν, μοιχούς· τοὺς δὲ, φο-
νεῖς ἀπεργαζόμενοι. καὶ πρὸ ἐκείνων, ὁ δημιουρ-
γὸς αὐτῶν θεός. τὴν αἰτίαν αὐτῶν ἀποφέρεται· ὅτι
αὐτὰ κατεσκεύασεν. ἀφ᾿ ὧν καὶ ἡ μὲν τοῦ ἐ-
πιφορεῖν. ἐξάγῃς ἐκ τοῦ ἐφ᾿ ἡμῖν. ὡς οὐ κυρίους
ἐπὶ τῆς πολιτείας εἶναι· γενέσθαι τῶν τοιούτων αἴτιοι. ἀλλὰ
καὶ τοῦ κατ᾿ ἀριστοκρατίαν αἴτιον ἀποφαίνουσι τὸν θεόν. πρὸς
τοὺς ἀδικοῦντας ἀποστάντος τῶν ὑποθηκῶν αὐτῶν.
ἀλλὰ τοῦ ταμιεύοντος τὰ ἄλλα ἀναγκῶν περιόδους ἔχον-
τα, τῶν εὐφημιῶν καὶ τῶν αἰτιῶν. οἱ δὲ λέγοντες ὅτι καὶ τὸ
ἐφ᾿ ἡμῖν καὶ τὸ καθ᾿ εἱμαρμένην συζεύγνυται. οὐκ ἔστι γὰρ τῶν
γινομένων ὑπάρχειν τὶ καθ᾿ εἱμαρμένην. ὡς τοῦτο
τὸ ψυχὰν. ἐκ τῶν φυτῶν, τὸ, τοιοῦτο προσφέρειν.

καὶ τῷ λίθῳ τὸ κατωφερές· καὶ τῷ πυρὶ τὸ ἀνωφερές·
ἤγουν καὶ τῷ ζώῳ τὸ συγκατατίθεσθαι καὶ ὁρμᾶν· ὅταν
οὖν ταύτῃ τῇ ὁρμῇ μηδὲν ἀντιπράττῃ τῶν ἔξωθεν καὶ κα-
θ' εἱμαρμένην, τότε τὸ περιπατεῖν τελέως ἐφ' ἡμῖν
εἶναι· καὶ πάντως περιπατήσομεν. οἱ ταῦτα λέ-
γοντες φασὶ, τῶν στωϊκῶν χρύσιππός τε καὶ φιλο-
πάτωρ· καὶ ἄλλοι πολλοὶ καὶ λαμπροί· οὐδὲν ἕτερον
ἀποφαίνουσιν ἢ πάντα καθ' εἱμαρμένην γίνεσθαι.
εἰ γὰρ καὶ τὰς ὁρμὰς παρὰ τῆς εἱμαρμένης φασὶν ἡμῖν
δεδόσθαι. καὶ ταύτας ἀπὸ τῆς εἱμαρμένης ποτὲ μὲν
ἐμποδίζεσθαι· ποτὲ δὲ μή. δῆλον ὡς πάντα καθ' εἱμαρ-
μένην γίνεται. καὶ τὰ δοκοῦντα ἐφ' ἡμῖν εἶναι. καὶ τοῦ-
λοιπὸν τοῖς αὐτοῖς λόγοις χρησόμεθα πρὸς αὐτούς. δει-
κνύντες τῆς δόξης τὴν ἀτοπίαν· εἰ γὰρ τῶν αὐτῶν αἰτίων
περιεστηκότων ὥς φασιν αὐτοί· πᾶσα ἀνάγκη τὰ
αὐτὰ γίνεσθαι· καὶ οὐχ οἷόν τε ποτὲ μὲν ὧδε ποτὲ δὲ ἄλ-
λως γίνεσθαι· διὰ τὸ ἐξ αἰῶνος οὕτως ἀποκεκληρῶσθαι

σθαι ταῦτα. ἀνάγκη καὶ τὴν ὁρμὴν τὴν τοῦ ζῴου.
πάντη καὶ πάντως τῶν αὐτῶν αἰτίων περιεστηκότων.
γίνεσθαι. εἰ δὲ καὶ ἡ ὁρμὴ ἐξ ἀνάγκης ἐπακο-
λουθεῖ τοῖς λοιποῖς, οὐ τὸ ἐφ' ἡμῖν. ἐλεύθερον γὰρ εἶναι
δεῖ τὸ ἐφ' ἡμῖν. τὸ δ' ἂν ἐλεύθερον. εἰ τῶν αὐτῶν περι-
εστηκότων. ἐφ' ἡμῖν ἦν τὸ ποτὲ ὁρμᾶν. ποτὲ δὲ μὴ ὁρ- ὁρμὴ
μᾶν. εἰ δὲ ἐξ ἀνάγκης ἐπακολουθεῖ τὸ ὁρμᾶν, ἐξ
δῆλον ὡς καθ' εἱμαρμένην καὶ τὰ τῆς ὁρμῆς γίνονται.
εἰ καὶ ὑφ' ἡμῶν γίνεται ἡ κατὰ τὴν ἡμετέραν φύσιν καὶ ὁρ-
μὴν καὶ κίνησιν. εἰ γὰρ διότι τὰ αὐτὰ καὶ μὴ γίνεσθαι.
ψευδὴς αὕτη. τῷ μὴ προσέχοντας τοῖς ἐλέγχουσιν ὅτι τῶν αὐτῶν
περιεστηκότων αἰτίων. ἀνάγκη τὰ αὐτὰ ἕπεσθαι.
ἄλλως δὲ καὶ ἐπὶ τοῖς ἀλόγοις καὶ ἐπὶ τοῖς ἀψύχοις εὑρε-
θήσεται. εἰ γὰρ τὴν ὁρμὴν ἐφ' ἡμῖν εἶναι λέγουσιν ὅτι φύσει
ταύτην ἔχομεν. τί κωλύει καὶ ἐπὶ τοῦ πυρὸς λέγειν εἶναι
